1) Ὁ κ. Μ. Γεδεών (Χρον. τῆς πατρ. ἀκαδημίας) ἀφιέρωσεν εἰς τὰ κατὰ τὸν Κόκκον ὑπὲρ τὰς 4 σελίδας (σ. 69–73)· πλὴν μιᾶς λεπτομερείας, οὐδὲν ἕτερον προστίθησιν εἰς ὅσα ὁ ἀείμνηστος Σοφ. Οἰκονόμος ἔγραψε· διὸ καὶ ἀδικεῖ τὴν μνήμην αὐτοῦ, βεβαιῶν (ἐν ὑποσημ. σ. 69) ὅτι ὁ Οἰκονόμος «τριάκοντα δύο ἐπλήρωσε σελίδας ἵνα μηδὲν εἴπῃ». Καὶ ἡ ἐν σελ. 72 τελευταία ὑποσημ. τοῦ κ. Γεδεὼν πηγάζει ἐκ πληροφορίας τοῦ Οἰκονόμου, γραφείσης ἐν τόμ. Α'. σελ. 434 τῶν Σωζομ. Φιλολογ. Συγγραμμάτων τοῦ Κ. Οἰκονόμου.

2) Miklosich et Müller, *Acta et diplomata*, III, σ. 290.

*) Οὗτος ἔγραψε τὸν ὑπ' ἀριθ. 1359 βατικανὸν κώδικα Ἡροδότου κατὰ Gardthausen (*Griech. Paleogr.* σ. 319), ὅστις ὅμως ἀγνοεῖ ἐν τίνι αἰῶνι ἐγένετο τοῦτο. Πρόσθες δὲ ὅτι τὴν ὑπογραφὴν αὐτοῦ εὗρον καὶ ἐν ἰδιοκτήτοις τεύχεσι, σωζομένοις ἤδη ἐν Μονάχῳ. Βλ. Hardt, *Catalog.* τ. III, σ. 9 «Δη-

μητρίου Ραοὺλ τοῦ Καβακῆ Ἕλληνές τε καὶ Θρᾳκός». Πρβλ. σ. 328 «Σπαρτιάτου καὶ Βυζαντίου».

1) Περὶ τούτου ἱκανὰς πληροφορίας εὑρίσκει ὁ ἀναγνώστης ἐν Γ' τόμῳ τῆς τοῦ Σάθα **Μεσαιωνικῆς Βιβλιοθήκης**.

2) Ὅρα περὶ τούτου Π. Καλλιγᾶ, **Μελέται καὶ Λόγοι**. Ἐν Ἀθήναις, 1882, σ. 131. Α. Δημητρακοπούλου, Ὀρθόδ. Ἑλλάς, σ. 110.

*) Περὶ τοῦ ἀνεψιοῦ αὐτοῦ Χρυσάνθου Ἱεροσολύμων τοῦ Νοταρᾶ εὑρηται ἀξιόλογος πληροφορία, μὴ χρησιμοποιηθεῖσα ὑπ' οὐδενός, ἐν τῇ περιηγήσει

θεσιν δὲ τῆς αὐτῆς *Ἀντιρρήσεως* ἀναφέρονται καὶ αἱ δύο λοιπαὶ τοῦ συγγραφέως ἐπιστολαὶ πρὸς τὸν οἰκουμενικὸν πατριάρχην Διονύσιον Γ', πατριαρχήσαντα τρίς, 1661, 1662—1665, καὶ 1671—1673. Καὶ αἱ τρεῖς δὲ ἐπιστολαὶ αὐτοῦ ἐγράφησαν ἀναμφισβητήτως κατὰ τὴν γ' πατριαρχίαν τοῦ Διονυσίου, ἤτοι μεταξὺ τῶν ἐτῶν 1671—1673.

Προστίθημι ἔτι μίαν ἐπιστολὴν τοῦ ἐξ Ἰωαννίνων διδασκάλου Βησσαρίωνος Μακρῆ, περὶ οὗ ἐν ἑτέρᾳ διατριβῇ, προσεχῶς ἐκδοθησομένῃ, πραγματεύομαι ἐκτενέστερον, νέας προσάγων πληροφορίας περὶ τῶν συγγραμμάτων αὐτοῦ. Ἕπεται εἶτα αὐτῇ ἡ ἀπάντησις τοῦ Σωφρονίου Δωρακίου, διδάσκοντος ἐν Κερκύρᾳ ἐν ἔτει 1675. Ἀμφότεραι αἱ ἐπιστολαὶ ἀναγινώσκονται ἐν φ.178ᵛ—184ᵛ τοῦ κώδικος, ἐκ δὲ τοῦ 62 φύλλου ἀντιγράψας παρέθηκα τὰς διαφερούσας γραφὰς προεγνωσμένης ἐπιστολῆς περὶ Μαργουνίου τοῦ πατριάρχου Ἱερεμίου τοῦ Β' πρὸς τὴν δημοκρατίαν τῆς Ἐνετίας.

Α. Παπαδοπουλος Κεραμευς.

ΕΠΙΣΤΟΛΑΙ ΔΙΑΦΟΡΩΝ.

ΚΥΡΟΥ ΜΑΝΟΥΗΛ

Μεγάλου Ῥήτορος τῆς Μ. Ἐκκλησίας

1.

(Ἀρσενίῳ Μονεμβασίας ἀπάντησις ὡς ἐκ μέρους τοῦ πατριάρχου).

Τὴν μακρήγορόν σου ἐπιστολὴν δεξάμενοι τεθαυμάκαμεν τὴν ἐπανθοῦσαν ἐν αὐτῇ γραμματικὴν καὶ τὸν ἐγκείμενον ἀττικισμόν, καί τοι παρέλκον ἦν τοσοῦτον ὑπομεῖναι κόπον σπουδῆς πρὸς οὐκ εἰδότας μήτ' ἀττικίζειν μήτε γραμματικοφιλοκλεπτολογεῖν· ἁλιέων γὰρ ἐσμὲν μαθηταί· ὅθεν μὴ θαυμάσῃς τὴν ἀπολογίαν, εἰ οὐ τὴν ἀνήκουσαν τοῖς σοῖς γράμμασιν ἀποπέμπομεν. Πλὴν ἴσθι ὡς ὁ προσενηνοχώς σοι τὴν συγχώρησιν Κύρσας τὴν προσήκουσαν δίκην ἀπέτισε, καθάπερ ἔμαθες ἢ ὅσον οὔπω μαθήσῃ· τὸ γὰρ ἐν οὐ παικτοῖς παίζειν ἀθέμιτον· Θεὸς ὅλως οὐ μυκτηρίζεται. Σὺ δ', ὦ ἀγαθέ, οὐ διὰ τοιούτων ἐπιστολῶν καὶ ἀπολογιῶν τὰ κατὰ σὲ ἡ ἡμῶν ἄνοια δέχεται ἢ ἐμφανίζειν ἡμῖν ἔδει. Ἀλλ' εἴθ' ἀφίκοιο ἂν ὡς ἡμᾶς, εἰ δ' ἀδυνατεῖς, γενέσθω σοι αὐχὴν ταπεινὸς καὶ δεύτερον ταπεινότερον γράψειας, καὶ τὰ πάντα διορθωθήσονται· *τὸν γὰρ ἐρχόμενον πρός με, ταπεινῶς δηλονότι καὶ οὐχ ὑπερηφάνως καὶ σοβαρῶς, ὡς αὐτὸς ἔδειξας διὰ τῆς γραφῆς σου, φησὶν ὁ θεάνθρωπος Ἰησοῦς, οὐ μὴ ἐκβάλω ἔξω.*

ΙΩΑΝΝΟΥ ΚΟΡΕΣΣΗ

2.

Δέσποτά μου παναγιώτατε, καιρὸς διέδραμεν ἀφ' οὗ οὐκ ἔγραψα πρὸς τὴν σὴν παναγιότητα, διὰ τὸ ἀποδημεῖν αὐτὴν πρὸς ἐπίσκεψιν τοῦ ἑαυτῆς ποιμνίου καὶ ἄλλας ἀναγκαίας χρείας τῆς Μεγάλης Ἐκκλησίας. Μαθὼν τοίνυν περὶ τῆς σῆς ἐπανόδου ηὐχαρίστησα Κυρίῳ τῷ Θεῷ, τῷ καταξιώσαντι αὐτὴν ἐπανελθεῖν ὑγιῆ κατ' εὐχήν, ὑγιαίνομεν δὲ καὶ ἡμεῖς σωματικῶς δι' εὐχῶν τῆς σῆς παναγιότητος, συνιστῶντες αὐτῇ καὶ ἡμᾶς αὐτοὺς δουλικῶς, καὶ εὐχόμεθα Κυρίῳ τῷ Θεῷ ἵνα διατηροίη αὐτὴν ὑγιῆ, ὀρθοτομοῦσαν κατὰ πάντα τὸν λόγον τῆς ἀληθείας, καὶ δεόμεθα αὐτῆς, ἐάν τινος καὶ παρ' ἡμῶν χρήζῃ, προστάττειν ὡς εὐνουστάτους φίλους· ἐπιποθῶ γὰρ ποιῆσαί τι ἄξιον φίλου. Πέμπομεν δὲ καὶ διὰ μικρὰν ἐνθύμησιν τερεβινθίνην χίαν λίτρας δύο ἡμισυ, σταμνίον ἓν μέλι λίτρας τριάκοντα, καὶ ἕτερον σταμνίον πλῆρες καππάρεως, ἅπερ παρεδώκαμεν τῷ ἡμετέρῳ σακελλίου παπᾷ κὺρ Ἰωάννῃ τῷ Σέρῃ,

τοῦ Gerard Cornelius von den Driesch (Histor. Nachricht von dem Röm. Kaysert Gross-Bottschaft nach Constantinopel. Nürnberg, 1723. σ. 449–450). Ὁ περιηγητὴς οὗτος ἐλθὼν εἰς Φιλιππούπολιν τῇ 23 Μαΐου 1720 εὗρε διατρίβοντα ἐνταῦθα τὸν Ἱεροσολύμων (ἀνωνύμως) λαβόντα ἄδειαν τοῦ Κ/πόλεως, ἵνα ἐπισκεφθῇ 15 ἐπισκόπους προστίθησιν ὅτι γινώσκει ἐπαρκῶς τὴν λατινικήν, τοῦθ' ὅπερ λέγει εἶνε ἀξιοσημείωτον· σκώπτει ὅμως αὐτὸν κατωτέρω διὰ τὰ λατινικά του, συνεπείᾳ ἰδιογράφου λατινικοῦ σημειώματος τοῦ Χρυσάνθου, ὅπερ ἔδωκεν οὗτος τῷ περιηγητῇ· τὸ σημείωμα ὑπ. μήνευε τὸν τίτλον συγγραφῆς τοῦ ἐξαδέλφου του Δοσιθέου κατὰ Καλβίνου καὶ Λουθηρανῶν, ἐκδοθείσης ἐν Παρισίοις. Πρὸς τούτοις λέγει, ὅτι ὁ πατριάρχης ἐξέθηκε τὰς περὶ ἑνώσεως τῶν δύο ἐκκλησιῶν (ἀνατ. καὶ δυτ.) σκέψεις του, ὡς καὶ τὴν θλῖψίν του περὶ τῆς ἀμαθίας τῶν ἡμετέρων μοναχῶν, καὶ ἰδίᾳ μονῆς τινος περὶ τὴν Φιλιππούπολιν.

ἵνα κομίσῃ ταῦτα τῇ σῇ παναγιότητι διὰ τὴν ἄκραν φιλανθρωπίαν καὶ πατρικὴν στοργὴν εὐχαριστῶν τῇ σῇ παναγιότητι, ἣν ἐνδείκνυται πρὸς αὐτὸν καθ' ἑκάστην. Οὐκ ἄλλο διὰ τὸ παρόν. Αἱ ἅγιαι εὐχαὶ τῆς σῆς παναγιότητος εἶησαν μεθ ἡμῶν.

3.

Καὶ πάλαι μὲν κοινῇ παρ' ἡμῶν τῇ τοῦ Θεοῦ Μεγάλῃ Ἐκκλησίᾳ διὰ γραμμάτων δεδήλωται, δεομένων αὐτῆς ὅπως ξυνετὸν ἄνδρα καὶ κόσμιον καὶ ἁπλῶς, κατὰ τὸν εὐαγγελικὸν λόγον, οὐ μισθωτὸν ἀλλὰ ποιμένα καλὸν ἐν Χίῳ καταστήσῃ ἐπίσκοπον, ὅπερ μέχρι τοῦ νῦν ἡμῖν οὐκ ἀπέβη, κωλυθείσης (ὡς παρὰ πολλῶν ἐπυθόμεθα) τῆς σῆς παναγιότητος ὑπὸ τῶν...κρατούντων τοῦτο διαπράξασθαι. Ὁρῶντες δὲ αὐτὴν τανῦν τοῦτ' ἐπανορθώσασθαι φροντίζουσαν, οὐκ ὠκνήσαμεν αὖθις ἰδίᾳ διὰ γραμμάτων ἀντιβολῆσαι τυχεῖν οὗπερ ἐφιέμεθα· οὐ λέληθε γὰρ τὴν σὴν παναγιότητα ἐξ ὧν ἑκάστην ἀναγινώσκει τε καὶ θεωροῦσα φιλοσοφεῖ, ὅτι μεγάλη ῥοπή, μᾶλλον δὲ τὸ ὅλον πρὸς σύστασιν νόμων καὶ χρηστῶν ἠθῶν ἡ καλῶς ἄρχουσα πέφυκεν ἀρχή. Καὶ τούτου χάριν, οἷα φιλόστοργος πατὴρ καὶ καλὸς οἰκονόμος, τὰ τῆς Χίου διοίκησον· κατὰ γὰρ Σοφοκλέα «ἐν σοί γε ἐσμέν, ἄνδρα δ' ὠφελεῖν ἀφ' ὧν ἔχοι τε καὶ δύναιτο κάλλιστος πόνων». Συνίσταμεν δέ σοι καὶ τὸν εὐλαβέστατον ἱερέα κὺρ Ἐμμανουὴλον τὸν Πελοποννήσιον, ἄνδρα ξυνετόν τε καὶ ἀγαθόν, ὅστις δεξιὸς ὢν ἠρέθη καὶ παρ' ἡμῶν τό γε νῦν ἐς Βυζάντιον ἀπελθεῖν καὶ ὑπὲρ πολλῶν καλῶν τε καὶ ἀγαθῶν ἀνδρῶν, ὑπό τινων συκοφαντηθέντων, ἀπολογήσασθαι· ᾧ καὶ ξυνηγορῆσαι τὴν σὴν παναγιότητα, πλεῖστα παρὰ τοῖς τοῦ βασιλέως σατράπαις καὶ μεγιστᾶσι δυναμένην, ἀξιοῦμεν· ἡ εὐλογία εἴη μεθ' ἡμῶν. Ἔρρωσο καὶ ἐς βαθὺ γῆρας ἵκοιο, παναγιώτατε δέσποτα, ἀεί γε τὸν τῆς ἀληθείας λόγον ὀρθοτομῶν.

Ἀπὸ Χίου, ὀκτωβρίου ις' τοῦ ἀφοῦ ἔτους.

ΔΙΟΝΥΣΙΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ

4.

Διονύσιος ἱερομόναχος Ἀνανίᾳ ἱερομονάχῳ.

Ἔναγχος ἐπιστολήν σου κομισάμενος, ὦ ἱερὰ κεφαλὴ καὶ φίλων ἁπάντων φίλτατε Ἀνανία, χαρᾶς ὅσης ἀνάπλεως γέγονα, καὶ ὑφ' ἡδονῆς χαμόθεν ἀρθεὶς ἐτύγχανον τὸν αἰθέρα περιπολεύων, τοῦτο μὲν ὡς τοῖς βιβλίοις ἀεὶ πρόσκεισαι, τοῦτο δέ, εἰ καὶ πόρρω που πάνυ τῷ σωματικῷ διέστης συνδέσμῳ, τῶν φίλων δ' ἀεὶ δι' ἐπιστολῶν μνημονεύεις καὶ τῇ τῆς ψυχῆς διαθέσει τούτους ὅλως δοκεῖς περιπτύσσεσθαι καὶ προσαγορεύειν· τί γὰρ ἂν πρὸς τέρψιν ἡμᾶς ἐρεθίσειεν ἢ τὰ τῆς σῆς σεβασμιότητος γράμματα, ἃ ἡδύτερα μέν, νὴ τὸν Φίλιον, μέλιτος, ἀξιώτερα δέ, διὰ τὴν ἐνοῦσαν αὐτοῖς σύνθεσιν καὶ καλλονὴν τοῦ λόγου, σαπφείρου τε καὶ ἀδάμαντος καὶ πάσης ἄλλης ὕλης, ἣν συχνοὶ τῶν ἀνθρώπων διὰ τιμῆς ἄγουσιν; Ἀλλὰ λίαν ἡμᾶς εὐφρανεῖς, εἰ ἐπιστέλλεις ἡμῖν ἐν τῷ μέρει καὶ διὰ γραμμάτων ἡμῶν μνημονεύεις· λυπήσεις δὲ πάντως, εἰ ἐθέλεις ἡμᾶς περιόψεσθαι καὶ ταῖς ἐπιστολαῖς σου, ταῖς τοῦ ἀττικοῦ θύμου πνεούσαις, οὐ καταλούεις ἡμῶν ὡς μύρῳ. Πέμποις τοίνυν ἀεὶ καὶ τῶν μαθημάτων ἀπόναιο, ταῖς εἰσηγήσεσι τοῦ σοῦ σοφοῦ διδασκάλου νευρούμενος. Γράφεις δέ μοι περὶ τοῦ σοῦ ἀδελφοῦ κάμοῦ διὰ σοῦ, ὡς ἐφίεται τῆς μουσικῆς πάνυ καί, εἰ φίλον μοι, τὸ πρὸς ἡμᾶς ἐλθεῖν ἐκεῖνον καὶ ὡς ἀδελφὸν ἀδελφῷ συνεῖναί μοι, ταῖς ὑπηρεσίαις ἀντισταθμούμενον τῶν τῆς μουσικῆς ἀκουσμάτων. Ἐγὼ μὲν οὖν ἴσθι, φίλτατε, ἄσμενος ἂν αὐτὸν ἀποδεξαίμην, ὑπ' ἄλλου ὑπηρετούμενος, καὶ ἀμισθὶ τὰ τῆς μουσικῆς διδάξαιμι, εἰ τροφῆς εὐπορεῖ καὶ τῶν ἄλλων ἀναγκαίων, ὧν καὶ αὐτός, νὴ τὴν ἀλήθειαν, ἄχρι τοῦ νῦν ἀπορῶ.

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΑΙΤΩΛΟΥ

5.

Γεώργιος Αἰτωλὸς Ἱππολύτῳ Μηθύμνης.

Ἀττικουργῶ τὸν λόγον πρὸς σὲ τὸν περιττὸν τὴν σοφίαν πέμπειν, ταὐτὸν τῇ παροιμίᾳ «γλαῦκας εἰς Ἀθήνας»· ἀλλ' ἐπειδὴ στάθμαι τε καὶ κανόνες τὸν τέκτονα καὶ τὸν δημιουργὸν τὰ τρύβλια δείκνυσι, δεῖται δήπου καὶ λόγου κομψοῦ, ὃς πρὸς τοὺς παιδείας ἀντιποιουμένους γράφειν ᾠήθη καὶ φιλοσοφίᾳ τὴν ψυχὴν ἐγγεγυμνασμένους, ἵνα τὰ παρόντα αὐτῷ συνδιήσωνται, ἐκ χλιδῶν τῶν λόγων καὶ τοῦ ἀττικοῦ θύμου πνεόντων ὑπερφυῶς. Ἐγὼ δὲ οὐ ῥητορικῆς τέχνης αὐχῶν, ἧς οὐ τρίβων εἰμί, οὐδὲ δύναμιν λόγων προὐχθην ἐπιστεῖλαί σοι τῷ εὐπόρως μὲν εὑρεῖν οἷά τε ὄντι, εὐκόλως δ' εἰπεῖν· ἀλλ' ὡς τοῖσδε τοῖς λόγοις καὶ πόρρωθεν περιπτύσσεσθαι μᾶλλον γλιχόμενος, σὲ τὸ τῆς ἀρχιερωσύνης μέγα χρῆμα, ὃν οὔπω μοι συνέβη ταῖς σωματικαῖς μὲν ὄψεσιν ἰδεῖν, ταῖς ἀρεταῖς δὲ πανταχοῦ βεβοημένον,

καί σε τόν ἐπιστολάς εἰδότα πέμπειν, ὧν αἱ ἡδοναί τῷ προσηνεῖ καταγοητεύουσαι ἅπαντας Σειρῆνες εἶναι οὐκ ἀποδέουσι, παροτρύναι λακωνικῶς ἀνταμείψασθαί μοι. Οὐ γάρ ἔγνων πειράσασθαί σου, τοῦ Δημοσθενικῆς εὐπορροῦντος γλώττης· οὔμενουν, ὅτι πάλαι τοῦτο ἀπειπεῖν ἠθελήσαμεν, ἀλλ' ὅπως ἐπιστολῇ σου ἐντυχὼν συνοργιάσασθαί σοι δυνηθῶ, τῷ τὴν σοφίαν τῶν πάλαι οὐδέν διαφέροντι. Γράφε τοίνυν καί αὐτός ἐν τῷ μέρει, πανιερώτατε δέσποτα, καί τοῖς ἡδυτάτοις σοῦ γράμμασιν ἡμᾶς εὐφρᾶναι μή ἀπαναίνου, ὅτι καί τέττιξ τέττιγα ταῖς ᾠδαῖς ἔσθ' ὅτε κατακηλεῖ καί ἀηδών ἀηδόνα.

6.

Τῷ αὐτῷ Ἱππολύτῳ ὁ αὐτός Γεώργιος.

Ἡ τοῖς γράμμασί σου κέντρον πειθοῦς ἔπεστι καί χάριτος θέλητρον ἑνίησι τοῖς ἀναγινώσκουσι, καί τόν Ὀδυσσέα μιμεῖσθαι καταναγκάζεις τούς ἀκούοντας, ἵνα μή ἡδονῇ διαφθαρῶσι δεθῆναι τόν τήν ἀκτήν τῶν Σειρήνων δεδεμένον παραμειφθέντα. Ἐγώ, νή τήν ἱεράν σου καί τριπόθητον κεφαλήν, ἡνίκα τό κλεινόν σου γράμμα ἐκομισάμην (πῶς γάρ οὐ κλεινόν;), ὅπερ ἀρχιερεύς ὁ τόν μέγαν ἀρχιερέα μιμούμενος ἔγραψε, νάρκη μου ταῖν χεροῖν ἐπεισέφρησε τότε, καί ἀνελιζάμενος, ὅσης εὐμουσίας καί ἀττικισμοῦ εὗρον ἀνάπλεων. Καί ῥίψαι μέν τοῦτο τότ' οὐκ ἤθελον, καίπερ τῷ χεῖρε ναρκᾶν ἐδόκουν, ὑφ' ἡδονῆς δέ μᾶλλον ἐγλιχόμην ἀναγινώσκειν, καί τό ὑπό τοῦ Πλάτωνος ἐκεῖνο ῥηθέν ἀντιστρόφως ἐληλυθέναι διεμαρτύρουν τοῖς παρεστῶσί μοι· οὐ γάρ, τό γε νῦν ἔχον, τούς βασιλεῖς δεῖ φιλοσοφεῖν ἢ τούς φιλοσόφους βασιλεύειν, ἵνα τά τῆς πόλεως διοικηθῶσι καλῶς, ἀλλά τούς φιλοσόφους, οἵους σέ, τῶν τῆς Ἐκκλησίας ἐπιστατεῖν καί τούς ἐπιστάτας τούτων φιλοσοφεῖν, ὡς εἴθε καί ἕτερός σε τόν τῆς ἀρετῆς κολοφῶνα μιμήσαιτο καί ὁμόσε χωρεῖν ἐθελήσειεν, ἵνα ὁ ἁγιώτατός σου νοῦς θεῷ καί φιλοσοφίᾳ βουληθείς προσανέχεσθαι! Ἐρρωμένως μοι διαβιώης καί μή ἀντί δυεῖν μιᾷ μοι ἀμειφθῆναι θελήσειας, ὁ ταῖς ἐπιστολαῖς σου ὡς μύρῳ καταλούων τῶν ἀποδεχομένων αὐτάς· ὁ γάρ τοῦ Κροίσου θησαυρός τῶν πεμπομένων γραμμάτων ἥττων.

ΔΑΜΑΣΚΗΝΟΥ ΣΤΟΥΔΙΤΟΥ

7.

Ἐπιστολή Δαμασκηνοῦ μοναχοῦ καί ὑποδιακόνου Θετταλοῦ πρός Γεώργιον Αἰτωλόν.

Χθές πρό δείλης, εἰρήσεται γάρ τἀληθές, καθήμενος ἐν συννοίᾳ καί δι' ὧν ἡμῶν ἐπιλέλησαι τήν αἰτίαν κατ' ἐμαυτόν ἀναπολῶν, ἠχθόμην τά μάλιστα, οὐχ ὅτι πρός φίλου ἐπιλελήσμεθα, καί τοῦτο δ' οὐ μικρόν τοῖς ἐχέφροσιν, ἀλλ' ὅτι τῆς γε τοιαύτης λήθης αἴτιοι καθεστήκαμεν, ὥσπερ ἡ τῶν Μουσῶν μήτηρ τῆς Μνήμης, οἵγε τοσούτου καιροῦ διαστήματι ἐξ ὅτου Ἐνετίηθεν ἐπανῆκες, μίαν καί μόνην σοι γραφήν, καί ταύτην σολοικισμῶν ὅσων ἀνάμεστον πεπόμφαμεν· ἀλλ' εὖγε τῆς σῆς ἐλλογιμότητος, φίλων ἄριστε, ἥ με τῇ λύπῃ παχνωθέντα, φίλον ἦτορ, ὥσπερ ἡδεΐά τις αὔρα γλυκύ τι ἐμπνεύσασα τοῦ τῆς ἀθυμίας νέφους ἠθρίασεν. Ἀγαθῇ γάρ τύχῃ τήν σήν δεξάμενος ἐπιστολήν οὐ πάνυ δή με γελασείοντα πεποίηκας γελάσαι καί τῷ χεῖρε ὑφ' ἡδονῆς κροτῆσαι, τό μέν ὡς εὖ ἔχων διατελεῖς, ὅπερ ἔμοιγε καί τοῖς μετ' ἐμοῦ τῶν ἁπάντων ἡδύτατον, τό δ' ὅτι καί γραφῶν ἡμᾶς ἀξιοῖς, οὐτιδανούς ὄντας τῇ σῇ ἐλλογιμότητι. Ἵνα δέ μή ἀδοκίας ἁλῶ γραφῇ, πρός σου μέν ἡδέως δεχόμενος τάς γραφάς, αὐτός δ' οὐκ ἐπιστέλλων, δεῖν ἔγνων ἀντεπιστεῖλαί σοι, εἰ καί ἀμαθῶς ἀλλ' ἄλλως εὐνοϊκῶς, τῇ φιλότητι· οὐ γάρ δήπου τῷ κάλλει τῶν λόγων προσέχειν δεῖ, ὥσπερ οὐδέ γαλῇ κροκωτόν ἠμφιεσμένῃ, ἀλλά τῇ τῶν γραφῶν ἐνδομύχῳ διαθέσει, καθάπερ ὁ παρά Πλάτωνι Σωκράτης ὡρίσατο· εἰ μέν γάρ Δημοσθένης ἤ Θουκυδίδης, ὦ μάλα λαμπρῶ ἤστην ἐπί ῥητορικῇ ἐν τοῖς καθ' ἡμᾶς καιροῖς ἐτυγχανέτην, πάλαι ἄν ὡς αὐτῶ ἀφικόμενος, εἰ κἀπί Κερβερίους ἔδει δραμεῖν, ἐδεήθην ἀντ' ἐμοῦ γράψαντε πέμψαισοι. Ἐπεί δέ τούτοιν οὐκ εὐπορῶ, ἐμαυτόν καθεὶς (ὅ φασιν) εἰς ἀγῶνα, τουτί σοι τό φίλιον ἀντί ποδός ξεινήϊον πέμπω δῶρον, δῆλον δήπου γραφήν ἀντιβολῶν διά ταύτης τήν σήν ἀγχίνοιαν μή κατοκνεῖν ἡμῖν συνεχῶς ἐπιστέλλειν, εἰ καί τῆς σῆς σοφίας ἐσμέν τοὐπίπαν ἀμύητοι, ἐπεί θαυμάσιος μᾶλλον ἔσῃ τοῦτο ποιῶν τῆς σῆς ἐλλογιμότητος· «ὅτῳ γάρ φίλον τό σιωπᾶν ἐν οἷς οὐ δεῖ, τοῦτον οἱ πλείους ἀποστυγοῦσιν· ὅτῳ δέ τό λέγειν καί ἐπιστέλλειν πρόχειρον, τοῦτον ἐν θαυμαστοῖς πάντες ἄγουσιν». Εἰπέ γάρ δή μοι, πρός λογίου Ἑρμοῦ, τίνι χαριεῖ τά μάλιστα εἰμή τοῖς μᾶλλον πυθίων χρησμῶν τάς σάς ἀπεκδεχομένοις γραφάς, ἅς,

εἰ καί μή καθ' ἡμέραν ἀλλ' οὖν κατά μῆνα, γράφων ἐπιστέλλεις; ἤ οὐκ οἶδας ὡς Αὐγείας βουσί καί Ῥόδος κολοσσῶνι καί Βορρέου παῖδες θριξίν, οὐχ οὕτως οἱ μέν κεχάρηντο, οἱ δ' ἐπαινοῦντο, ὡς ἡμεῖς τοῖς σοῖς ἐπιστολιμαίοις ἡδόμεθα γράμμασιν; οὐκ ἀνέγνως δέ καί Πλάτωνα φάσκοντα «ἄνθρωπον ἀνθρώπου δαιμόνιόν τι χρῆμα εἶναι»; ἤδη γάρ, ἅτε φιλόσοφος ὤν καί τήν τῶν ὄντων γνῶσιν ἔχων, ὡς οὐδέν οὕτω τῶν ἁπάντων δαιμόνιον ἢ φίλος φίλῳ χαριούμενος. Ἄλλοι μέν οὖν ἄλλα τοῖς φίλοις τῶν ὑλικῶν χαριοῦνται, ἐπεί καί ὕλης αὐτοῖς μέλει τῆς κατ' Ἐπίκουρον· σύ δέ γραφαῖς καί λόγων προσρήσεσιν οὐ χαριῇ τοῖς τήν ζωήν ἅπασαν ἐν λόγοις δαπανήσασι; Πολλοῦ γε καί δεῖ· καί γάρ ἀθληταί μέν θεοῖς θύματα θύουσιν, ἄκαπνα δ' ἀοιδοί, οἶμαι δ' ὅτι καί τῶν ἀκάπνων λόγων μάλιστα τῷ θεῷ μέλει ἢ θυμάτων, εἰ δεῖ τῷ κυαμοφεύκτῳ πιστεύσαντα φάναι «οἶδας ὃν φημι». Εἰ τοίνυν θεῷ λόγῳ λόγων μέλει, φίλοι δέ θεῷ (κατά τόν εἰπόντα φιλόσοφον) οἱ φιλόσοφοι, καί φιλοσόφοις ἔσται δή μᾶλλον φίλος λόγος, εἶγε κοινά τά τῶν φίλων ὡς οὐδέν τῶν ἁπάντων. Πέμπε τοιγαροῦν ἡμῖν συνεχῶς γράφων ὁπόσα φίλοις συνοίσει, ἵνα σου τήν μνήμην ἀνεπίληστον ἔχωμεν, ἐπεί τό γράφειν, ὦ φίλος, οὔτι πω ἐς Ἀΐδαν γε τόν ἐκλελαθότα φυλαξεῖς. — Ἔρρωσο καί σε θᾶττον αὐτοψεί καπίδοιμι.

Περί δέ τῶν βιβλίων ὧν ἐβουλόμην πωλῆσαι τῷ τῆς Τρίκκης (ᾧ τί ἄν τις εἰπών ὀρθῶς προσείποι;), ἔσο γινώσκων, ὡς ἔγωγε οὐχ ὡς ἐλεήμων ὢν ἀεί τῶν χρυσίδων τάς ἐμάς (ὅ φασι) φρένας ἀπεμπώλουν, ἀλλ' ἐπειρώμην ἐπί Ῥώμην ἀπελθεῖν· διό ἵνα μή γλαῦκας εἰς Ἀθήνας δόξω κομίζων, δεῖν ἔγνων πωλῆσαι ταῦτα. Ἐπεί δέ κατά τήν παροιμίαν «ἀγαθή καί μάζα μετ' ἄρτον», καί ἡμῖν οὐ δεῖ τά τοῦ Κιλικῶνος ἀγάθ' ἔχειν, οὗτοι μέν οἰχέσθωσαν εἰς Ὄνου πόκας κἀπί Ταίναρον, ἐπεί καί ἡ δόξα αὐτῶν ἐν τῇ αἰσχύνῃ αὐτῶν, καθώς εἶπεν ὁ Προφήτης, ἡμεῖς δ' ἑτέρωθεν ἐφοδιασθέντες Θεοῦ συνάρσει μηνί Μαρτίῳ, καθ' ὃν ἡ τῶν χριστιανῶν ἐξ ὑπαρχῆς τελεῖται νηστεία, Ἐνετίηνδε βαδιούμεθα διά Κερκύρας, εἰ δεῖ καί δι' Ὀζείας δραμεῖν, καί τότε μοι, φίλων ἄριστε, ποθεινός ὀφθήσῃ ἐν Μετεώρῳ. Γαμηλιῶνος ἕνῃ καί νέᾳ.

8.

Τοῦ αὐτοῦ πρός τόν καθηγητήν αὐτοῦ Θεοφάνη καί ῥήτορα τῆς Μεγάλης Ἐκκλησίας.

Εἰ καί χρόνιαί σοι παρ' ἡμῶν αἱ ἐπιστολαί, ἀλλ' ἴσως οὐ χρονιώτεραι τῶν αὐτόθεν· ἡμεῖς μέν γάρ εἰ καί τῇ ἐνούσῃ ῥᾳθυμίᾳ, ἤ μᾶλλον εἰπεῖν ἀμαθίᾳ, κωλυόμεθα ἀλλ' οὐ παυσόμεθα, εἰ καί μή καθ' ἡμέραν ἀλλ' οὖν κατά μῆνα, γραφαῖς δεξιοῦσθαι τήν σήν σεβασμιότητα, ἐπεί καί νόμος παρ' Ἕλλησι, καί γε βαρβάρων τοῖς πλείοσι, τροφεῦσι χάριν ἐκτίνειν ὅση δύναμις, ὅπερ νῦν ἔμοι γε συμβαίνει, εἰ καί μή ὡς Ἕλληνι ἀκραιφνεῖ ἀλλ' οὖν ὡς βαρβάρῳ οὐκ ἀφυεῖ, χάριν σοί τῷ πατρί καί τροφεῖ ἀποτίνειν οὐ δώροις, ἐπεί τα[illegible]α εἰ καί θεούς πείθουσι καί αἰδοίους βασιλῆας· ἀλλ' οὐ τήν σήν ἱεράν κεφαλήν, γραφῇ δέ μόνῃ, τῇ καί πλειόνως οἶομαι τήν σήν σεβασμιότητα γάννυσθαι, ὡς σόν οὖσῃ δῶρον ἡμῖν. Ἔνθεν τοι γράφων οὐ κατοκνήσω τά σά ἐκ τῶν σῶν σοι δωρούμενος, ἕως ἄν ἤ ἐγώ ἐπιστέλλων καταναλώσω τούς χάρτας ἤ ἡ σή ὁσιότης ἡμᾶς ὀνειδιεῖς ταῖς γραφαῖς ἀπειπάμενος. Ἀλλ' ἐρρώσθω μέν τό σόν ἱερώτατον σκῆνος, ἐρρώμεθα δέ καί ἡμεῖς ταῖς σαῖς ἁγίαις εὐχαῖς.—Ποσειδεῶνος φθίνοντος.

9.

Τοῦ αὐτοῦ πρός αὐτόν.

Νοσήματος ἔναγχος ἐπεισεφρηκότος τῇ σῇ σεβασμιότητι, μᾶλλον ἡμεῖς τῇ λύπῃ κατεβαπτίσθημεν ἤ τό σόν ἱερόν σκῆνος τῇ ἀσθενείᾳ, ἐπεί σοί μέν κατά τό χεῖρον τό πάθος ἐνέσκηψεν, ἡμῖν δέ κατά τό κρεῖττον. Ἀλλά τί κεν εἴποιμεν; θεός διά πάντα τελεῖ, ὃς ἡμῶν κηδόμενος ἐρρῶσθαι τήν σήν δέδρακεν ὁσιότητα, καί τοῦτο, μᾶλλον αὐτῷ χάρις ἡμᾶς λύπης μειζοτέρας ἀπαλλάξαντι καί σοι τήν ὑγείαν δεδωκότι εἰς ἡμῶν μέν παραμύθιον, πολλῶν δ' ἑτέρων καταθύμιον. Ἀλλ' εἴης ὑγιαίνων ἔτι καί ἔτι, καί γε ἡμᾶς ἀνταμείψαις γραφῇ, λύπης τό πολλοστημόριον ἀφελόμενος, ἐπεί κἀν τούτῳ οὐ μικρῶς ἡμᾶς ἴσθι λυπῶν, τοσούτου καιροῦ διαστήματι μηδέ μίαν γραφήν ἐπιστείλας· καί μοι τοιοῦτόν τι νοεῖν ὑπεστιν, ὡς ἡμᾶς οὐδενί τῶν ἁπάντων ἀνιᾶν ἔχων μεγάλως τήν σήν παροργίσαντας ὁσιότητα, τούτῳ μόνον λυπεῖν προῄρησαι. Ἀλλ' ἔδει γραφαῖς μᾶλλον ἀνιᾶν, εἴ γε λόγος θανατοῖ, ἤ σιωπῇ κωφόν οὖσῃ χρῆμα. Ἔρρωσο καί σύγγνωθι εἴ του ἡμᾶς αἰτιᾷ.

10.

Τοῦ αὐτοῦ πρός αὐτόν.

Πάλιν τῆς ἐμῆς οὐθενείας ἀμνημονήσας, πάτερ θειότατε, πρός τήν σήν σεβασμιότητα γράψαι κεκίνημαι· καί γάρ ψυχῆς ἔρως ἄπλητος

καὶ πατρικῆς φιλίας σύνδεσμος ἄρρηκτος κατεπείγει με τοῦτο δρᾶσαι. Τοίνυν, ἵνα μὴ πέρα τῶν ἱμερτῶν μοι γράφω, βραχυλογίας μᾶλλον ἢ πολυλογίας ἐφάψομαι. Εἰ μὲν οὖν πρός τινα τῶν οὐ ποτέ μοι ἐγνωσμένων, ἢ ἐγνωσμένων μέν, οὐ φιλτάτων δέ, ἔστελλον, ἤδη καὶ πλείστοις ῥήμασιν ἐχρώμην ἵνα τὴν ἐκείνου φιλίαν ἀνακαλέσωμαι· ἐπεὶ δὲ τῷ πάντων ἀριστά μοι πεφιλημένῳ καὶ φιλοῦντι, καὶ τί ἔτι λέγω, ἴσα Θεῷ μοι τιμένῳ, εἰ καὶ τολμηρὸν εἰπεῖν, τὸν πόθον ἐπιδείξασθαι βούλομαι, οὐ χρεία μεγαλορρημοσύνης· οὐ γὰρ γραφιδίοις τὰ τῶν φίλων, ἀλλὰ ψυχῆς διαθέσει εἴωθεν ἐπιδείκνυσθαι· τοσοῦτον δὲ καὶ γραφῶν χρεία, ὅσον ἐπ' ὄψιν τῷ πόρρω ὄντι τὰ τῆς φιλίας ἐνδάλλεσθαι· ὃ δὴ κἀπ' ἐμοὶ νῦν ὁρᾶται. Εἰ μὲν γὰρ ἄνευ γραφῶν εἶχον πιστῶσαι τῇ σῇ σεβασμιότητι ὅσον καὶ οἵαν εὔνοιαν ἔχων διατελῶ σοι τῷ φιλτάτῳ μοι πατρί, οὐ μὰ τὸν ἀμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν παγὰν ἀεννάου φύσεως, ἵνα καὶ πυθαγορικῶς εὐορκήσω, ὅπως μὴ καὶ ὀχληρὸς δόξω ἐπέστελλον· ἐπεὶ δ' εὖ οἶδα τὸ ἐπιστέλλειν ἡδὺ τῇ σῇ σεβασμιότητι, διά τοι τοῦτο οὐ κατοκνῶ τῶν δυνατῶν μοι. Ἓν δέ μοι τῶν πάντων ἐμπόδιον, ὅτι οὐ γραμματοφόρων εὐπορῶ, οἳ τὰς οὐτιδανάς μου γραφὰς ἀμέσως κομίσουσι πρὸς τὰς σὰς τιμίας χεῖρας, ἀλλ' ἐκ τῶν πολλῶν εὖ οἶδ' ὅτι κἂν μία τετύχηκε τοῦ ποθουμένου.

11.

Τοῦ αὐτοῦ πρὸς αὐτόν.

Πολλῶν ὄντων καὶ μεγάλων ἐξ ὧν μοι τὴν σὴν ἔπεισι θαυμάζειν σεβασμιότητα, τίμιε πάτερ, ἑνὶ τῶν ἁπάντων δυσφόρως ἔξω πρὸς τὴν σὴν ὁσιότητα· πῶς γὰρ οὐκ ἀλγήσαιμι πρὸς τῆς ἀληθείας αὐτῆς, τοσούτου καιροῦ διαστήματι μηδὲ μίαν ἐπιστολήν, μὴ ὅτι γ' ἐς φιλίας ἔνδειξιν, κἂν γοῦν ἐς ταύτης ἀπόθεσιν ἀπολελαυκώς τῶν σῶν τιμίων χειρῶν, πῶς δὲ καὶ τὴν εἰς τὰ κατ' ἐμὲ κηδεμονίαν σου ὄψομαι; Ἐῶ τἄλλα, εἴ γε καὶ μικρᾶς ἐπιστολῆς οὐκ ἄξιος κρίνομαι· εἰ γὰρ καὶ «ἐν Κέῳ τις ἡμέρα» κατὰ τὴν παροιμίαν, οὐκ οἴδαμεν ἢ τὰ τρία Στησιχόρου· ἀλλὰ τοῦτό μοι καὶ λίαν εὔδηλον, ὡς οὐκ ὄκνῳ τινὶ ἢ ἀσθενείᾳ σαρκός, ἀλλ' ἕνεκ' ἔχθρας Ἐμπεδοκλέους, εἰ δεῖ καὶ τοῦτό μοι φάναι, οὐδὲ μίαν τὸ παράπαν ἐπιστολήν μοι πέπομφας, καὶ ταῦτ' ἐμοῦ κατὰ μῆνα συνεχῶς γραφὰς ἐπιστέλλοντος, ἐξ ὧν εἰ καὶ μὴ αὐτοψεί, κἂν γοῦν ἐξ ὀνύχων ἐπιγνῴης τὸν λέοντα. Καίτοι γ' ἐχρῆν, ὦ ἱερὰ κεφαλὴ καὶ συμπαθεστάτη ψυχή, ἐμοῦ μηδὲν μηδαμῶς ἐπιστέλλοντος, ἅτε γῆς βάρος ὄντος καὶ Κόννου ψῆφος καὶ Σερίφου χολὴ καὶ εἴ τι τούτων εὐτελέστερον, οὐδέποτ' ὀκνῆσαι τὴν σὴν σεβασμιότητα, εἰ καὶ μὴ πλείστοις σωροῖς μυρμήκων, εἰ δεῖ καὶ χρημάτων φάναι παρεοικυίας, κἂν γοῦν μίαν γραφὴν ἐπιστεῖλαί μοι· οὐδὲ γὰρ Ἰφικλος ποσὶ καὶ Βορρέου παῖδες θριξί, οὔτ' αὖ Ξέρξης πλατάνῳ καὶ Ἡρακλῆς ἄθλοις, Αὐγείας βουσὶ καὶ Ρόδος κολοσσῶνι, οὕτως οἱ μὲν κεχάρηντο, οἱ δ' ἐπαινοῦντο, ὡς ἔγωγε τοῖς σοῖς ἐπιστολιμαίοις ἥδομαι γράμμασιν. Ἀλλὰ τί μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην, εἶπεν ἂν καὶ Ἡσίοδος; οὐδὲ γὰρ ἐκ παλαιφάτου δρυὸς ἦσθα, σοφώτατε, κατὰ τὴν παροιμίαν· ἐπεὶ εἰ δελφίνα νήχεσθαι μὴ διδάσκειν ἡ παροιμία φησί, καὶ ἀετὸν ἵπτασθαι καὶ βατράχοις οἰνοχοεῖν, πῶς ἂν ἔγωγε μικράς σταγὼν ὢν θαλάττῃ ἐρίσομαι, ἀκμὴν οὐδ' ἐν σελίνοις τυγχάνων, οὐτ' ἐν πίθῳ τὴν κεραμίαν μανθάνων; εἰ δὲ καὶ ὗς πρὸς Ἀθηναίην ἤρισε, σύγγνωθι· ἄνθρωπος γὰρ ἀνθρώπου δαιμόνιον, εἶπεν ἂν καὶ Πλάτων.

12.

Τοῦ αὐτοῦ πρὸς τὸν Γεώργιον.

Βάτραχος ὢν ἔγωγ' ἐκ Σερίφου καὶ Κόννου ψῆφος καὶ ἐρεβίνθιος Διόνυσος, κατὰ τὰς παροιμίας, τί ἂν καὶ φθεγξαίμην σοι τῷ σοφωτάτῳ, φίλων ἄριστε; ὁμήρειος γὰρ Μοῦσα καὶ δημοσθένειος ῥῆσις καὶ Θάμυρις ὁ πολὺς τάχα ἂν καὶ προσβάλειαν τῇ σῇ εὐμούσῳ γλώττῃ, ἧς, φεῦ τῆς ἐμῆς οὐθενείας, πρὸς καιρὸν οὐκ εὐμοιρηκὼς λύπης ὅσης καὶ ἀθυμίας ἐμπέπλησμαι, καὶ ταῦτα καθάπερ κόραξ ὑδρεύων ὤν, κατὰ τὴν παροιμίαν, καὶ ἐλάφου μᾶλλον ὕδατος τῆσδε διψῶν; Ἀλλ' ὦ φιλῶν καὶ φιλούμενε, Κόννος Ἀρτοξύῃ φάνηθι καὶ συνεχῶς ἡμῖν γράφων ἐπίστελλε, ἵνα σου τὴν μνήμην ἀνεπίληστον ἔχωμεν.

13.

Τοῦ αὐτοῦ Μεθοδίῳ συμφοιτητῇ ἑαυτοῦ.

Φίλοις ἀντεγκαλεῖν οὐ θέμις, ἐγὼ δέ σε τὸν φίλτατον ἐγκλητεύσομαι, οὐχ ὅτι τὰς ἐμὰς βοῦς καθ' Ὅμηρον ἤλασας, ἀλλ' ὅτι τοσούτου καιροῦ διαστήματι οὐδεμίαν ἡμῖν ἐπιστολὴν πέπομφας, καὶ ταῦτα χερσὶν ὑπτίαις, ὃ δὴ λέγεται, καθ' ἑκάστην ταύτας ἀπεκδεχομένοις. Ἀλλ' ἴσως καὶτὸς ἡμᾶς αἰτιάσῃ, φίλων ἄριστε, ὡς οὐ κατὰ μῆνα γραφὰς ἐπιστέλλοντας· ἀλλ' ἡμῖν, ὦ σοφώτατε, πολλὰ τῶν ἁπάντων ἐμπόδια· οὔτε γὰρ τῆς ἀττικῆς εὐγλωττίας ἐσμὲν εἰδήμονες, οὔτε γραμματοκομιστῶν εὐποροῦμεν, τολμῶ δ' εἰπεῖν, ὡς καὶ τῷ μείζονι ἐντυγχάνειν οὐκ ἀσφαλές. Σοὶ δὲ εἰ τὸ μὲν οὐ πάρεστιν, ἀλλ' οὖν ἑτοίμως τὸ γράφειν κεχάρισται. Ἔνθεν τοι γράφων ἡμῖν μὴ κατόκνει ὁπόσα φίλοις συνοίσει, ἐπεὶ θαυμάσιος μᾶλλον ἔσῃ τῆς σῆς ἐλλογιμότητος γράφων ἢ σιωπῶν· ὅτῳ γὰρ φίλον τὸ σιωπᾶν ἐν οἷς οὐ δεῖ, τοῦτον οἱ πλείους ἀποστυγοῦσιν, ὅτῳ δὲ τὸ λέγειν καὶ ἐπιστέλλειν πρόχειρον, τοῦτον ἐν θαυμαστοῖς πάντες ἄγουσιν. Οὗλέ τε καὶ μέγα χαῖρε.

14.

Τοῦ αὐτοῦ πρὸς αὐτόν.

Ὁ μὲν σοφώτατος Θέογνις, πάντων ἔμοιγε φίλτατε κὺρ Μεθόδιε, μὴ δεῖν τοὺς παρὰ κρατῆρι καὶ τραπέζῃ φίλους ὄντας ἀληθεῖς οἴεσθαι παρακελεύεται· ἐγὼ δὲ οὔτε παρὰ κρατῆρι, οὔτε παρ' ἄλλῳ τῳ τὴν σὴν φιλήσας ἐλλογιμότητα, ἀλλ' ἢ ἐν τῇ τοῦ τρισμάκαρος Θεοφάνους ἀρίστῃ παιδείᾳ καὶ νῷν ἁμίλλῃ ὁμογνώμονι δεῖν ᾠήθην ἀληθῆ σε φίλον οἴεσθαι καὶ τῶν ἁπάντων ὑπερήδιστον, ἅτε καὶ τὸν τῆς πάλαι φιλίας πυρσὸν οὐ μοδίῳ καλύψαντα, ἀλλ' ἔτι μᾶλλον ἀνάψαντα· διὸ καὶ νὴ τὰς Χάριτας, οὐκ οἶδ' ὅθεν ἄρξομαι λέγειν τὰ ἐξ ὧν χεῖρα κεκίνηκα· εἰσὶ γάρ μοι ὅσα καὶ οἷα τοῖς ἀληθέσι φίλοις φιλεῖ συμβαίνειν ἑκάστοτε, ὑπηνίκα τῆς σφῶν ἡδίστης ξυναυλίας μνησθῶσι, καὶ ὅτε τῆς τούτων εὐβούλου γλώττης καὶ χαριεστάτης ὁμιλίας μὴ λησθῶσιν, ἅπερ κἀμοί γε κατὰ ταὐτὸν ἁπαξάπαντα συμβέβηκε τὴν σὴν δεξαμένῳ ἐπιστολήν· ἤσθην μὲν βαιά, καὶ πῶς γὰρ οὐκ ἔμελλον τῆς σῆς πάλαι καὶ νῦν μοι φιλτάτης χειρὸς δεδεγμένος σύμβολα· δέδηγμαι δ' αὖθις τὴν ἐμαυτοῦ καρδίαν, τῆς σῆς ἐλλογιμότητος ἔχων αἰτιᾶσθαι πάμπολλα, ἅπερ βουλόμενος λέγειν ἑκὼν σιωπήσομαι. Ὅ δέ μοι καὶ σιωπῶντι δῆλον καθέστηκε, τὴν σὴν ἀγχίνοιαν ἐγκλητεύσομαι, ὅτι περ τῆς συνήθους τοῦ τε λέγειν καὶ γράφειν ἐκστὰς ἑτοιμότητος λακωνικῆς βραχυλογίας ἐφήψω, καὶ ταῦτα πρὸς φίλον ἐπιστέλλων, ᾧ οὐδὲ βίβλοι πᾶσαι μεσταὶ φιλίων γραφῶν ἀρκέσουσιν. Ἀλλ' ἵνα μὴ λόγον οἷον φημί, τοῖον ἐπακούσωμαι, μικρόν τι τῆς σῆς ἀγχινουστάτης ἐπιστολῆς τὴν ἐμὴν αὐτοσχέδιον μηκύνοντι σύγγνωθι· εἰ δέ τι καὶ τῆς ἐμῆς ἀπουσίας μέμφῃ, ἐπίσχες, τοῦτο μαθών, ὡς εἰ καὶ μία λόχμη δύο ἐριθάκους οὐ δύναται τρέφειν, κατὰ τὸν Κυδαθηνέα κωμικόν, ἀλλ' ἐμοὶ καὶ λίαν ἥδιστόν ἐστι, φίλων ἄριστε καὶ πρώτιστε, ξυνεῖναι τῇ σῇ ἐλλογιμότητι, ἐπεί σε οὐδενὶ τῶν ἁπάντων οἶμαι γάννυσθαι ἢ τῇ τῶν σπουδαίων ἀνδρῶν ξυναυλίᾳ. Ἔνθεν τοι καὶ τὴν τοῦ δρόμου βαλβίδα σχάσαντα καὶ πρὸς σὲ τὸν φίλτατον ἐλθεῖν ἐθελήσαντα, τελχίν τις ἀλάστωρ, ὡς μὴ ὤφελεν, ἀνέκοψε· πλὴν ἐπεί περ, ὡς ἀκηκόην, τὴν Σωκράτους Ἀκαδημίαν ἐν Μετεώρῳ συγκεκρότηκας καὶ πλεῖστον αὐτόθι χρόνον διατρίψαι προήρησαι, ἐλπίς μοι ὕπεστιν εἰς Θεὸν ταχέως ἰδεῖν τὴν σὴν τριπόθητον κεφαλὴν καὶ εἰκότα συλλαλῆσαί σοι.

15.

Τῷ αὐτῷ.

Ἀγαθῶν ἀγαθίδας ὤν, σοφώτατε, κατὰ τὴν παροιμίαν, πῶς ἡμῶν ἐπιλέλησαι; ῥᾷον γὰρ ὠόμην τὸν προφήτην Δαβὶδ τῆς Ἱερουσαλὴμ ἐπιλαθέσθαι, περὶ ἧς καὶ ἀρὰς προὔτεινεν, ἐπιλαθέσθαι λέγων τὴν ἑαυτοῦ δεξιὰν καὶ κολληθῆναι τὴν γλῶτταν τῷ λάρυγγι, ἢ οὕτω σε ἡμῶν ἐπιλησθῆναι. Ἀλλ' ὡς ἔοικεν, ἡμεῖς τῆς λήθης αἴτιοι καθεστήκαμεν, μὴ καθ' ἡμέραν γραφάς σοι πέμποντες. Οἶμαι δ' ὡς οὐκ ἂν ἡμᾶς αἰτιάσῃ μᾶλλον ἢ περ ἡμεῖς τὴν σὴν ἀγχίνοιαν· ἡμεῖς μέν γάρ, εἰ καὶ τῇ ἐνούσῃ ῥαθυμίᾳ καὶ ἀμελείᾳ συνεχόμεθα, ἀλλ' οὖν τρίτην σοι ταύτην ἤδη γραφὴν ἐπεστάλκαμεν· σὺ δ' οὐκ οἶδ' ὅν τινά μοι δοκεῖς σκοπὸν ἔχειν, ἢ δῆλον ὡς κατά τι τὴν σὴν λελυπήκαμεν ἐλλογιμότητα· ἀλλ' εἰ τοῦτ' αἴτιον, δήλωσον καὶ σιωπῶ.

16.

Τῷ αὐτῷ.

Ἰδού σοι τὸ καταλειφθὲν ἡμῖν παρὰ τοῦ σοῦ ἀδελφοῦ κὺρ Γεωργίου Ψαλτήριον πέμπομεν, οὐδὲν μὲν ἕτερον ἔχοντες ἀντιπέμψαι τῇ χάριτι, πλὴν ἀλλὰ δέξαιο τὴν ἐπιστολήν, φίλιον οὖσάν σοι δῶρον, εἴ γε τοῦ λόγου εἶ θεραπευτής, ἀλλὰ μὴ χρυσοῦ.

17.

Τοῦ αὐτοῦ Ἀρσενίῳ μητροπολίτῃ Τουρνόβου.

Ὅσης χαρᾶς ἐνεπλήσθημεν τὸ σὸν τίμιον γράμμα τὴν ἀρχὴν κατιδόντες, ἐλλογιμώτατε ἄνερ, διπλασίας ἀνίας ἀναγνόντες ἐνεφορήθημεν· ἡμεῖς μὲν γὰρ πρὸς φίλου φιλίαν γραφὴν εἰς χεῖρας λαμβάνοντες χαιρήσειν ἠλπίζομεν φιλίων προσρημάτων τευξόμενοι· τὸ γράμμα δέ σου ἀχθόμενον πρὸς ἡμᾶς, καὶ ταῦτ' οὐχ

ἕνεκεν ἑκατομβείων ἀλλὰ χρονίων ἐπιστολῶν, τῆς ἐλπίδος ὑστέρησε. Πλὴν εἰ καὶ χρόνιαί σοι παρ' ἡμῶν αἱ ἐπιστολαί, ἀλλ' ἴσως οὐ χρονιώτεραι τῶν αὐτόθεν· ἡμεῖς μὲν γὰρ εἰ καὶ τῇ ἐνούσῃ ἀμαθίᾳ κατεχόμεθα, ἀλλ' οὐ παυόμεθα γραφαῖς τὴν σὴν δεξιοῦσθαι σεβασμιότητα· σὺ δέ, τ' ἀληθὲς γὰρ ἐροῦμεν, εἰ καὶ μιᾷ ἢ δυσὶν ὑπερβαίνεις ἡμᾶς γραφαῖς, ἀλλ' οὖν ἀχθόμενον σεαυτὸν ἡμῖν συνεχῶς ἐπιδεικνύεις, ὡς εἴ τι σοι μέγα κακὸν δράσασιν· οὐ καθ' ἡμῶν, ὦ φίλος, ἔδει σε ἄχθεσθαι, ἀλλὰ κατὰ τῶν γραμματοκομιστῶν, οἳ τὰς γραφὰς λαμβάνοντες χερσὶν ἑτέρων, ἐχθρῶν μᾶλλον ἢ φίλων, ταύτας παρέχουσιν. Εἰ δὲ τῆς τούτων πείρας ἀπαλλαγείημεν, ὄψει γραφὰς νιφάσιν ἐοικυίας χειμερίοισιν. Οὗλέ τε καὶ μέγα χαῖρε.

18.

Μακαρίῳ ἱερομονάχῳ φοιτητῇ ἑαυτοῦ.

Τὸ μὲν λυπεῖσθαί σε καὶ ἀδημονεῖν, ὦ φιλότης, ἕνεκα τῆς ἐμῆς ἀπουσίας, οὐδὲν ἀπεικός· εἰ γὰρ ὁ συμμετασχὼν τινι ἅπαξ τραπέζης πολλάκις αὐτοῦ μέμνηται, κἀν τοῖς ὀνείροις ὡς εἰπεῖν φαντάζεται, πῶς οὐκ εἰκός σε ἡμῶν μεμνῆσθαι, οὐχ ἅπαξ ἢ δίς, ἀλλ' ἀμετρὶ συσσιτισαμένων οὐ μόνον τὴν ἀπολουμένην καὶ πρόσκαιρον βρῶσιν, ἧς τὸ περιττὸν ἀχρηστία, ἀλλὰ πολλῷ μᾶλλον τὴν οὐράνιον καὶ διαμένουσαν, ἣν ἄρτον Ἀγγέλων ὁ Προφήτης ὀνομάζει; Οὐ τοίνυν ἀπέοικε τῆς ἡμετέρας λυπεῖσθαί σε διαζεύξεως· εἰ δὲ καὶ ἐξ ὅλης ψυχῆς τοῦτο δρᾷς, αὐτὸς μόνος ἐπίστασαι. Ὅτι δὲ εἰ καὶ μὴ τὴν ἐμὴν ὄψει θέαν, οὐκ ἄν ποτε λήξῃ τῆς λύπης, ὁ ἑτάζων καρδίας καὶ νεφρούς Θεός, ἐν ᾧ πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκεινται, κρεῖττον ἡμῶν ἂν εἰδείη. Ἐγὼ δ' οὖν καὶ ἐρρῶσθαί σε βούλομαι καὶ τῆς σῆς μνήμης οὔποτε λήξειν, ἕς τ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ, ἐπεὶ καὶ ἡμεῖς Θεοῦ συνάρσει ἐρρωμένοι διατελοῦμεν.

19.

Ἰωάσαφ ἀρχιεπισκόπῳ Θεσσαλονίκης.

Παναγιώτατε ἀρχιεπίσκοπε Θεσσαλονίκης, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Θετταλίας, καὶ τὸν τόπον ἐπέχων τοῦ Καισαρείας Καππαδοκίας, τὴν προσήκουσαν αἰδὼ ἀπονέμοντες τῇ σῇ παναγιότητι δεόμεθα κυρίου τοῦ Θεοῦ, τοῦ μεγάλου καὶ πρώτου ἀρχιερέως, ὑγιαίνειν τὴν σὴν θεοείκελον παναγιότητα εἰς ἐτῶν πολλῶν περιόδους, πρὸς σύστασιν καὶ καταρτισμὸν τοῦ ὑπὸ σοῦ ποιμαινομένου χριστωνύμου λαοῦ, πρὸς δὲ καὶ ἡμετέραν θυμηδίαν καὶ ψυχικὴν ἀγαλλίασιν, ἐπεὶ καὶ ἡμεῖς ἔστ' ἂν τὴν τῆς σῆς παναγιότητος εὐεξίαν μανθάνωμεν ἡδονῆς ἀπείρου πληρούμεθα· φήμη γὰρ ἀγαθὴ πιαίνει ὀστᾶ, καθὼς φησιν ὁ σοφὸς Σολομών. Ἐν ταῖς Ἀθήναις τῶν τυράννων πάλαι καταλυθέντων, καὶ οἷον εἰκὸς τῶν ἐκείνων δορυφόρων καὶ συνεργῶν ἐπιζητουμένων τε καὶ φονευομένων, μεγάλη φωνὴ τοὺς λοιποὺς τοῦ θανάτου ἐρρύσατο, τὸ μὴ μνησικακήσῃς λέγοντας τοῖς τὴν Φυλὴν καταλαβοῦσιν Ἀθηναίοις. Αὕτη τοιγαροῦν κἀμοὶ ἁρμοδία καθέστηκεν ἡ φωνή, παναγιώτατε δέσποτα, ἁρμοδία δὲ οὐχ ὥστε θανάτου ρυσθῆναι, ἀλλ' ὥστε τὴν ἀποῦσαν τῆς σῆς παναγιότητος φιλίαν ἀνακαλέσασθαι· εἰ γὰρ καὶ τελχίν τις ἡμᾶς πονηρὸς πάλαι κατηνάγκασε τῆς προσηκούσης φιλίας στερηθῆναι, ἀλλ' οὐ θεμιτὸν δυσὶ χριστιανοῖς μάχην αἰώνιον παραμένειν· Ἀγγέλων μὲν γὰρ ἴσμεν τὸ ἀσκανδάλιστον ἴδιον, Δαιμόνων δὲ τὸ ἀεισκανδάλιστον· ἀνθρώποις δὲ δεῖ, καὶ μάλιστα τοῖς τῇ ὄντως εἰρήνῃ Χριστῷ πιστεύουσιν, εἰ καὶ σκανδάλοις τισὶ περιπέσωσιν, αὖθις εἰρήνης μεμνῆσθαι· εἰρήνη γάρ ἐστι φίλη θεοσεβέσι χριστιανοῖς, τὸ γλυκὺ πρᾶγμα καὶ ὄνομα. Οὔκουν κακίας μεμνῆσθαί σε δεῖ, θεοείκελε ἄνερ, οὐδ' εἴπερ ἔν τισι τὴν σὴν λελυπήκαμεν παναγιότητα, τὴν Ἐμπεδοκλέους σοι θέμις κατέχειν ἔχθραν, ἀλλ' ἅμα τῇ τῆς παρούσης γραφῆς παρουσίᾳ, τὴν ἐν μέσῳ ἡμῶν πάλαι συμβᾶσαν ἔχθραν ἀπόρριψον ἐς τὸ Λήθης πεδίον· Χριστοῦ γὰρ εἶ μιμητὴς τοῦ ἑβδομηκοντάκις ἑπτὰ ἀφιέναι κελεύσαντος τὰ τῶν πέλας πλημμελήματα· εἰ γὰρ οὕτω δράσεις, διπλῆς φιλίας ἀντὶ τῆς πάλαι ἐπιτεύξῃ παρ' ἡμῶν, ἐπαινέτας τε ἡμᾶς ἕξεις τῆς σῆς παναγιότητος, καὶ φίλους οἵους εἰκός.

ΜΑΞΙΜΟΥ ΜΑΡΓΟΥΝΙΟΥ

20.

Τῷ παναγιωτάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ, κυρίῳ κυρίῳ Ἱερεμίᾳ, Μάξιμος ἐλάχιστος ἱερομόναχος ὁ Μαργούνιος, χάριν παρὰ Θεοῦ σωτῆρος ἡμῶν εἰς ἔργα σωτηριώδη.

Οὐδὲν ἀγάπης παρὰ χριστιανοῖς τῆς γε σὺν τῷ καλῷ νοουμένης αἱρετώτερον, παναγιώτατε δέσποτα· ὥσπερ γὰρ ἐξ ἔχθρας τε καὶ ἔριδος καὶ τῶν τοιούτων πᾶν ὅ,τι κακὸν τοῖς ἀνθρωπίνοις συμβαίνειν πέφυκε, καὶ ἐκ τῆς ἀγάπης πᾶν ὅπερ ἂν ᾖ ἀγαθὸν ἐν αὐτοῖς κατορθοῦσθαι,

οὐδεὶς ὃς ἂν ἔξαρνός ποτε γένοιτο· τοῦτο δ' ὅτι καὶ τῶν ἀπὸ Χριστοῦ καλουμένων εἰδικώτατόν ἐστι γνώρισμα, οὐκ ἀπ' ἄλλου του, ἀλλ' ἢ παρὰ τοῦ Σωτῆρος ἡμῶν μεμυήμεθα, ἐν τούτῳ γνώσονται πάντες εἰπόντος τοῖς ἑαυτοῦ μαθηταῖς ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε πρὸς ἀλλήλους. Πῶς δ' οὐκ ἂν εἴη τοιοῦτον ἀγαθὸν ἡ ἀγάπη, ὅπου γε, τούτου μὲν ἀπόντος, πάνθ' ἕωλα τά γε παρ' ἡμῶν κατορθούμενα, παρόντος δὲ καὶ μόνου, ἅτε δὴ τὸ πᾶν, τό γε ἐς χριστιανοὺς ἥκον, σχεδὸν ἡνυκότες τυγχάνομεν; ἀπόδειξις δὲ καὶ τούτου τὸ τοῦ Χριστοῦ στόμα, Παῦλος ὁ μακάριος, πολλὰ μὲν τῶν ὡς ἡμᾶς ἀγαθοδότως κατιόντων τοῦ Χριστοῦ χαρισμάτων τῷ λόγῳ ἐπεξιών, οὐ μέντοι γε ταῦτα χωρὶς τῆς ἀγάπης παρ' ἡμῶν ἐξασκούμενα καὶ πρὸς σωτηρίαν ἡμῖν συνεισφέρειν τι, σαφῶς πάνυ ἀποδεικνύς, «ἐὰν γάρ τις, λέγων, ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῇ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχῃ, ἠχῶν ἐστι χαλκὸς καὶ κύμβαλον ἀλαλάζον· καὶ ἐὰν σχῇ προφητείαν καὶ εἰδῇ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν τοσαύτην σχῇ πίστιν ὥστε ὄρη μεθιστάνειν, καὶ ἐὰν ψωμίσῃ πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ ἐὰν παραδῷ τὸ σῶμα αὐτοῦ ἵνα καυθῇ, ἀγάπην δὲ μὴ ἔχῃ, οὐδὲν ὠφελεῖται». Πόσον οὖν ἐστιν ἀγαθόν, οὗ χωρὶς οὐδεὶς ἂν τῆς αἰωνίου ζωῆς ἀπολαύσειεν; αὐτὴ δὲ κἂν μὴ γλώσσαις λαλῇ, κἂν μὴ προφητείαν ἔχῃ καὶ τὰ λοιπὰ προτερήματα, πρὸς τὴν οὐρανῶν ἂν ἡμᾶς βασιλείαν οὐδὲν ἧττον χειραγωγήσειε· καὶ αὐτὴ δὲ ἡ πίστις καὶ χωρὶς ἀγάπης μὲν ἂν εἴη, οὐκ ἂν δὲ καὶ πρὸς σωτηρίαν τι λυσιτελήσειε. Καὶ τοῦτ' ἔμοιγε δοκεῖν ὁ αὐτὸς αἰνιττόμενος ἔλεγεν· «ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη», διὰ τῆς προσθήκης τῆς ἀγάπης τὴν ἡμετέραν πίστιν τῆς τῶν δαιμόνων, καὶ γὰρ κἀκεῖνοι καὶ πιστεύουσι καὶ φρίττουσι, διαστέλλων σοφώτατα. Ταύτης δὲ διχῶς νοουμένης, τῆς τε πρὸς τὸν Θεὸν αὐτὸν καὶ τῆς παρ' ἡμῶν πρὸς ἀλλήλους ὀφειλομένης, καὶ αὖθις τῆς εἰς Θεὸν τοῖς ὑποδιαιροῦσιν, ὅσον τε περὶ θεωρίαν δογμάτων ἀνήκει καὶ τὴν τῶν δεσποτικῶν ἐντολῶν τήρησιν, τίς πρὸς τῆς ἀγάπης αὐτῆς, παναγιώτατε δέσποτα, χριστιανίζειν τῳόντι βουλόμενος, δυναμένης μὲν σώζεσθαι τῆς περὶ τὴν τῶν δογμάτων θεωρίαν ἀγάπης, ἐκ ταύτης δ' αὖθις οὐχ ἧττον ἐξ ἀνάγκης ἔπεσθαι καὶ τῆς πρὸς τὸν πλησίον ὁμοψυχίας, κἂν πάντες σχεδὸν περὶ τὴν τῶν ἐντολῶν τήρησιν ἀμφοτέραις ταῖς ἰγνύαις χωλαίνωμεν, οὐκ ἂν προέλοιτο καὶ σῶμα καὶ ψυχὴν καὶ πᾶν ὁ,τιοῦν τὸ ὅσον γε ἐπ' αὐτῷ παρασχεῖν, ὥστε τοιοῦτον κατόρθωμα εὐάρεστον μὲν Θεῷ, χρήσιμον δὲ ἀνθρωπίνοις πράγμασι, πρόξενον δὲ σωτηρίας τῷ τῶν χριστιανῶν γένει ἐμπολιτευθῆναί ποτε; ἢ τίς τοῦτο μὲν σὺν Θεῷ δυάμενος κατορθοῦν, μὴ μέντοι γε πρὸς τοῦτο καὶ χερσὶ καὶ ποσίν, ὅ φασι, καὶ πάσῃ σπουδῇ παρασκευαζόμενος, φύγοι μὲν μέμψιν ἀνθρώπων δικαίαν, φύγοι δ' ἂν αὖ Θεοῦ κρίματα καὶ ψῆφον ἀπότομον; Ἀλλά μοι συγγνοίης παρακαλῶ, παναγιώτατε δέσποτα, τῷ τῆς ἀγάπης ζήλῳ πεπυρσευμένῳ, κἀκ τούτου ὡς περ ἐκβεβακχευμένῳ καὶ ἀγομένῳ εἰς ἃ καὶ μὴ αὐτόθεν προήρημαι. Τί γοῦν ἐστι τὸ σπουδαζόμενον καὶ ἡ τῆς ἀγάπης ὑπόθεσις; τοῦτο δὴ τοῦτο καὶ μάλιστα, παναγιώτατε δέσποτα, οἶσθα μὲν καὶ αὐτὸς πάνυ καλῶς, οἳ κεχώρηκε τὰ ἡμέτερα, ἐρῶ δὲ κἀγὼ καὶ οὐκ ἄνευ δακρύων τὰ τῶν ἡμετέρων συμφορῶν ἐκτραγῳδῶν οἰκτρότατα. Πόσῃ μοχθηρῶν ὑδάτων φορᾷ ὁσημέραι περιαντλούμεθα! ποίῳ τινὶ καὶ πόσῳ σωρῷ κακῶν περιπεπτώκαμεν! Καὶ ταῦτα μὲν φορητά τισιν ἴσως καὶ δόξειεν, ἅτε δὴ διὰ τουτωνὶ θειόθεν παιδευομένων ἡμῶν, εἰθ' ἑκόντες τοῦτο εἴτε καὶ ἄκοντες πάσχοιμεν, ὅσα γε εἴτε εἰς ἁμαρτιῶν τίσιν, εἴτε καὶ εἰς ἐντολῶν δεσποτικῶν τηρήσεως ἔλλειψιν ἀνήκει· σύμφημι τοῦτο κἀγώ. Τὸ δὲ κεφάλαιον τῶν δεινῶν, τὸ καὶ περὶ τὴν πίστιν αὐτὴν ναυαγεῖν καὶ τοῖς τῆς πίστεως ἐχθροῖς αὐθαιρέτως ἑσθ' ὅτε προσάγεσθαι καὶ ἕνα καὶ δεύτερον καὶ πολλούς, ποῦ δ' ἄν τις καὶ θήσειεν, ἢ τίνι τῶν τοῦ Θεοῦ κριμάτων προσάψειεν; Ἐγὼ μὲν οὖν ἔν οἶμαι καὶ τοῦτο τῶν τοῦ Θεοῦ κριμάτων μέγιστόν τε καὶ δυσεξερεύνητον, πλήν, ὥς γε εἰκάσαιμι, μείζους ἔχον πάντως τῶν ἡμετέρων ἁμαρτημάτων τὰς ἀφορμάς, εἴεν δ' ἂν αὗται, τὸ μὴ τῆς τοῦ πλησίον φροντίζειν ἡμᾶς σωτηρίας καὶ πάντα πράττειν, ὥστε ἀλλήλους ἀλλήλοις, χριστιανοὺς γοῦν χριστιανοῖς προαιρεῖσθαι ἐνοῦν· ὅπερ ἐξὸν ἡμῖν μὴ ποιοῦντες, οὐχ' ὅτι γε Θεοῦ ἐγκαταλείψεως, ἀλλά γε πρὸς τούτῳ καὶ πάσης ἂν τιμωρίας πᾶσι δικαίοις κρινοίμεθα ἄξιοι. Ἄγε τοίνυν πρὸς τῆς εἰς Χριστόν σου ἀγάπης, πρὸς τῆς εἰς τὸν πλησίον, παναγιώτατε δέσποτα, ἅτε δὴ πασῶν τῶν ἡμετέρων ψυχῶν τὴν ἐπιμέλειαν εἰς σεαυτὸν ἀναλαβών, τὰ περὶ τῆς σωτηρίας ἡμῶν προνοήθητι, καὶ ὡς περ κυβερνήτης ἐπιστήμων ταῖς τοῦ παναγίου Πνεύμα-

τος ἄκραις κινούμενος, καλῶς τὴν ναῦν τῆς Ἐκκλησίας πηδαλιουχῶν, ἔξω παντὸς ταύτην περίσωζε κλύδωνος, ἢ μᾶλλον εἰπεῖν, δὸς χεῖρα κλυδωνιζομένῃ, καὶ πρὶν ἢ ἐς βυθὸν καταχθῆναι, πάσῃ δυνάμει προφθάσας βοήθησον. Τοῦτο δ' ἂν πάντως ἐκτελοίης, εἴ γε τῆς τῶν ἀνέμων σφοδρότητος ἀπαλλάξας ἐπιστημόνως, τῷ ποθητῷ τῆς γαλήνης λιμένι προσορμίσειας, ὥστε τὸν φόρτον σῶον τῷ δεσπότῃ ἐπαποδοῦναι, κἀντεῦθεν τοὺς ἐπιβάτας τὰ σωτήρια λοιπὸν ἄσαι ἄσματα. Ἀλλά μοι τὸ τῆς εἰκόνος ἐς τὸ σὸν καθῆκον μετάφερε, παναγιώτατε δέσποτα, ἐπιμελήθητι δὴ τῆς τῶν πολλῶν σωτηρίας, παρακαλῶ· ζήτησον μεθ' ὅσης ἂν οἷόν τ' ᾖ σπουδῆς τὴν τῶν Ἐκκλησιῶν ἕνωσιν, παῦσον τὰ πάλαι μέν, καὶ νῦν δὲ οὐχ ἧττον ἐπεγειρόμενα σκάνδαλα, πόρρω βάλλε τὰς ταραχάς· ἔχεις τὰς αὔρας τοῦ Πνεύματος· ἔτι λαλοῦντός σου, ἐρεῖ ὁ Χριστὸς «ἰδοὺ πάρειμι»· προσόρμισον τὰς Ἐκκλησίας τῷ τῆς ἀγάπης παγγαλήνῳ λιμένι, ἧς φύσις τὰ διερρωγότα συνάπτειν καὶ τὰ διεστῶτα ἑνοῦν εἰς ἄλληλα πέφυκεν. Οὕτω καὐτὸς εὐδοκιμήσεις παρά τε Θεῷ καὶ ἀνθρώποις τὰ μέγιστα, καὶ τοῖς μετέπειτα γενησομένοις μεγίστας παρέξεις τοῦ σὲ ἐπαίρειν καὶ μακαρίζειν τὰς ἀφορμάς, οὐχ ὅπως γε σῶον ἀλλὰ καὶ ὁλόκληρον τὸν φόρτον τῷ σῷ δεσπότῃ ἀποδιδούς. Οὕτω καὶ ἡμεῖς συνάσομέν σοι τὰ σωτήρια ἄσματα, τὰ τῶν ἐκκλησιῶν ἑνωτήρια, τὰ τῆς ἡμετέρας σωτηρίας προμηνυτήρια. Ὅπως δὲ τοῦτο πράξεις πρὸς τῇ θειόθεν βοηθείᾳ, δεῖ γὰρ καὶ ἡμᾶς ἐκ τῶν ἐνόντων τι συνεισφέρειν μετὰ τὴν ἄνωθεν ροπὴν ἐς τὴν τῶν πραγμάτων κατόρθωσιν, ἔχεις ἂν καὶ παρὰ σαὐτοῦ τὸν τρόπον, καὶ ἔξωθεν οἵ γε τὰ θεάρεστα συμβουλεύσειαν, καὶ εἴ γε βούλοιο χρήσασθαι συνεργῷ καὶ τῷ παρόντι ἡμετέρῳ συγγράμματι, δώρῳ μὲν Θεοῦ, καρπῷ δὲ τῆς ἡμετέρας διανοίας τυγχάνοντι· ὅπερ σοι τῇ θείᾳ καὶ ἱερᾷ κεφαλῇ καθιερῶσαι τὰ μάλιστα προῃρήμεθα, τῆς τε προκειμένης ἡμῖν ὑποθέσεως ἕνεκεν, ἔχει γὰρ τῳόντι πολλὰς καὶ καλὰς ἀφορμάς, σωζομένου τοῦ ἡμετέρου δόγματος τοῖς τὰ τῆς ἑνώσεως ἂν μελετήσουσι· καὶ ὅτι τὰ καθ' ἡμᾶς δόγματα, ὡς πέρ τινι κανόνι καὶ εὐθυντῆρι τοῖς τῆς σῆς δοκιμασίας νόμοις ὀφείλει εὐθύνεσθαι. Εἰ δέ τι καὶ ἡμᾶς, καί τοι ἀχρείους ὄντας κατὰ πάντα, ὡς συμπράξοντάς τι τῷ τῆς ἑνώσεως καλῷ συνεργοὺς προέλοιο, οὐδὲν μελλήσαντας, τοῦ τε κοινῇ συμφέροντος καὶ τοῦ ἡμετέρου καθήκοντος ἕνεκεν, πρὸς δέ, καὶ τοῦ βούλεσθαι ἐν πᾶσι τἀγ' εἰκότα τῇ σῇ ὑπείκειν παναγιότητι, ὅτι τάχιστα τῆς ὁδοῦ καθαψόμεθα καὶ τοῖς σοῖς προστάγμασι καθυπείξομεν. Ἐρρωμένην διαφυλάττοι ὁ Κύριος τὴν σὴν παναγιότητα ψυχῇ τε καὶ σώματι, εἴς τε τὴν ἑαυτοῦ δόξαν καὶ εἰς τὴν τοῦ ἡμετέρου γένους ἀνάκτησίν τε ἅμα καὶ βελτίωσιν.

Κρήτηθεν, βοηδρομιῶνος ἕκτῃ ἐπὶ δέκα, ἔτει ἀπὸ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐνανθρωπήσεως ᾳπφγ'.

21.

Τῷ πανιερωτάτῳ Φιλαδελφείας Μάξιμος ταπεινὸς Κυθήρων ἐπίσκοπος, μετὰ τὸ συνοδικὸν γράμμα λαβεῖν τὸ εἰς ἀγάπην καὶ διαλλαγὴν ἡμᾶς προτρεπόμενον.

Τὰ δῶρα ἀγάπην ἢ οὖσαν συνιστᾶν μᾶλλον, καὶ διασώζειν, ἢ ἐπηρείᾳ τινὶ τοῦ μισοκάλου, οὕτω ξυμβὰν ἀποιχομένην, ἐπανακαλεῖσθαι προσπέφυκεν, ἀλλ' ὅσα ἐκ προσηνοῦς προῆκται ψυχῆς, καὶ δεινόν ὕτι μάλιστα τιθεμένης τὴν ὁπωσδήποτε γενομένην τοῦ φίλτρου παράβασιν· ἔστι γὰρ καὶ ἄδωρα δῶρα ἐχθρῶν· τὸ δὲ παρ' ἡμῶν τό γε νῦν ἔχον πεμπόμενον, κἂν μικροπρεπὲς ᾖ καὶ ἧττον ὥστε ἀντισταθμίζεσθαι πρὸς τὴν σὴν ἀξίαν, ἱερωτάτη μοι κεφαλή, ἀλλὰ τοῦ προτέρου γένους καὶ θειοτέρου πάντως καθέστηκε, καὶ τοσούτῳ μᾶλλον ὅσῳ γε καὶ τοσαύταις, αἷς οἶσθα, ἐπηκολούθησαν ἀφορμαῖς, καὶ τοιούτων καὶ τοῦ παντὸς διαλλακτικῶν νυμοίρησεν ἡμερῶν. Δέδεξο οὖν εὐμενῶς καὶ φιλοφρόνως ναὶ πρὸς τῆς ἱερᾶς ἡμᾶς ἀλλήλους καὶ αὖθις συναψάσης ἀγάπης, ὁποιονοῦν ἂν εἴη τουτὶ τοῦ μεταξὺ νῶν φίλτρου ὑπέκαυμα, καὶ τῷ σφοδρῷ τοῦ παρὰ σοὶ πυρὸς εἰς μέγαν ἐπανάψοις πυρσόν, ὡς ἂν τὸ παρενσπαρὲν ὑπὸ τοῦ πονηροῦ τῷ σίτῳ κακῶς καλῶς καταναλωθείη ζιζάνιον, καὶ τοῦ λοιποῦ καθαρὸν τὸν σῖτον τῆς φιλίας κατακαρποίμεθα. Οὐχ ὅτι δέ, ἀλλὰ καὶ τοῦ μέλλοντος, εἰ καί σοι συνδοκεῖ, πέπεισμαι ὅτι πρόνοιαν ποιησόμεθα μηδὲν ὅλως ἐνδιδόντες ταῖς τοῦ ὄφεως εἰσβολαῖς, αἷς τε εἰσβάλλειν εἴωθεν αὐτὸς καθ' ἑαυτὸν καὶ αἷς ἀνθρώποις πρὸς τοῦτο συνεργάταις χρώμενος τῶν τῷ ἱερῷ τῆς ἀγάπης συνημμένων ἀντεξανίσταται· μόλις γὰρ καὶ οὕτω τὰς ὑποκλοπὰς διαδιδράσκομεν, τὰς αὐτοῦ ὥσπερ κατέχοντες ὠρυόμενον καὶ τὰς ὀργώσας πρὸς κακίαν ὁρμὰς ὅσον σθένος ἀναχαιτίζοντες, καὶ λαμπρὰ λοιπὸν ἡμῖν ἡ φλὸξ διαμενεῖ τοῦ θείου ἔρωτος, ἀνακαιομένη τὴν οἰανοῦν καὶ ὁθενοῦν διαμάρανσιν. Ἐρρωμένην σου διαφυλάττοι ὁ Κύριος τὴν ἱερωτάτην ψυχήν, πάτερ ἐν Χριστῷ σεβασμιώτατε καὶ αἰδεσιμώτατε.

Ἐνετίῃθεν ᾳφψ'.

22.

Τῷ πανιερωτάτῳ Φιλιππουπόλεως κυρίῳ Θεοφάνει Μάξιμος εὖ πράττειν.

Τοῦ φιλικοῦ σοι τῶν τρόπων καὶ τῆς περὶ τὰ θεῖα ἀρετῆς καὶ τοῦ καλοῦ ἔρωτος τῆς Κυρίου ἀγάπης προφανῆ τεκμήρια γέγονε τὰ πρὸ μικροῦ πρὸς ἡμᾶς βραχέα μέν, ἀλλὰ μάλα λιγέως, κατὰ τὸν σὸν Ὅμηρον εἰπεῖν, διαχαραχθέντα γράμματα, ἀνδρῶν ἱερώτατε, καὶ σοφώτατε· ὅτι δὲ τοῦτο καὶ οὕτως ἡμεῖς πεπείκαμεν περὶ σοῦ ἑαυτούς, ἐμμάρτυρός σοι ἡ ἀπόδειξις πρὸς τὴν ἔκβασιν τῆς σῆς προτροπῆς ἀποβλέψαντι· καὶ γὰρ πᾶν ὁτιοῦν τῶν ἡμετέρων δικαίων παριδόντες, μόνον ἵνα μὴ ἧττους τῶν τῆς ἱερᾶς ἀγάπης θεσμῶν δόξωμεν, οὐ μόνον τὰ φθάσαντα ἀλλὰ δὴ καὶ τὰ προσφάτως δι' ἡμετέρων γραμμάτων δηλωθέντα ὑμῖν λήθης παραδεδωκότες βυθῷ, τοῦτον καὶ μόνον πάντων τὸν γλαφυρὸν καὶ ὑπέρτιμον μαργαρίτην ἀντωνησάμεθα. Ὁρᾷς ὅσον τιμῶμεν ἀγάπην ἡμεῖς καί σου τὰς πρὸς ταύτην ὁρμάς; διηλλάγημεν δή, διηλλάγημεν ὑφ' ἱεραῖς ἡμέραις καὶ τελεταῖς, συνεχωρήσαμεν πάντα τῇ Ἀναστάσει, καὶ τοῖς μεμισηκόσιν ἤδη ἡμᾶς τὸ «ἀδελφοί» καὶ στόματι καὶ καρδίᾳ εἰπεῖν οὐκ ἀπηξιώσαμεν. Τοιαῦτά σοι, ἱερὰ κεφαλή, τὰ παρ' ἡμῶν εὐαγγέλια· πέπεισμαι δ' ὅτι καὶ τῶν ὧν ἂν ἤκουσας ἡδέων ποτὲ εὐαγγελικώτερα. Ὡς δ' ἂν ἡμῖν μέχρι τέλους τὰ τῆς ἱερᾶς τῶν ψυχῶν ἑνώσεως προσχωρείη, καὶ τῶν σῶν μετὰ τὸ θεῖον εὐχῶν προσδεόμεθα, καὶ οἶδ' ὅτι τούτων οὐκ ἀμοιρήσομεν, ἐκ τῶν φθασάντων τὰ ὕστερα τεκμαιρόμενοι. Ἐρρωμένην σου διαφυλάττοι ὁ Κύριος τὴν ἱερωτάτην ψυχήν, ἀδελφὲ ἐν Χριστῷ ὁμόψυχε καὶ σεβασμιώτατε.

Ἐνετίῃθεν, ᾳφς'.

23.

Διονυσίῳ τῷ μεγάλῳ πρωτοσυγκέλλῳ τῆς μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας Μάξιμος εὖ πράττειν.

Τί εἴπω ἢ τί λαλήσω; οὐχ ἅπερ ἐνεθυμήθημεν ἡμεῖς, οὐδ' ἃ προειλόμεθα, ἀλλ' ἅπερ ὁ Θεὸς ἠθέλησεν ἐν ἡμῖν ἐνήργησε, καί μοι ἐν τοιαύτῃ καταστάσει ψυχῆς διαμένοντι τὸ «Κύριε, οὐκ ἐν τῷ ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ» προφητικὸν λόγιον ἐπελήλυθε· καὶ δὴ καὶ τὸ «οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ»· καὶ γὰρ καὶ τοῖς καθ' ἡμᾶς τὰ ῥητὰ ταῦτά πως ἐφαρμόσειε. Πέπαυται δίκη, ἀνήρηται δικαστήριον, οὐδεμία λοιπὸν ἐκδικήσεων ὁποιωνοῦν, καὶ ὅτι μάλιστα δικαίων ὑπόθεσις ὑπολέλειπται, ἀγάπης ἀντὶ πάντων καὶ πρὸ πάντων ἀντυπεισελθούσης ταῖς ἡμετέραις ψυχαῖς, οὕτω διαθέντος τοῦ θείου, οὕτως ἐξυπηρετήσαντος τῷ ἐκείνου βουλήματι τοῦ τὴν προστασίαν τῶν ἡμετέρων ἀνειληφότος ψυχῶν. Ἡ ἀναστάσιμος τῶν ἡμερῶν ἥγετο, τὸ συνοδικὸν πρὸ μικροῦ ἀπειλήφαμεν γράμμα, τί γὰρ ἔδει παθεῖν, τοιούτων ἡμῖν γενομένων ἀφορμῶν; ἡνώμεθον ψυχικῶς, διηλλάγμεθον θεϊκῶς, εἴθε καὶ διαμείνοιμεν ἄχρι τέλους, πρὸς Θεοῦ τε καὶ τῶν σῶν εὐχῶν βοηθούμενοι! Ταῦτά σοι τῇ ἱερᾷ κεφαλῇ τὰ εὐαγγέλια προσκομίζομεν· σὺ δ' ἀντευαγγελίζοιο ἡμῖν τὰ τῆς ἱερᾶς Ἐκκλησίας διορθωτήρια, τὸ πάντων ἐμοὶ ποθεινότερόν τε καὶ τιμαλφέστερον. Σύγγνωθί μοι τό γε νῦν εἶναι λακωνίζοντι· οὐ γὰρ ἔστι[1] περαιτέρω τὴν γραφίδα παρεκτείνειν, ἐνασχολουμένῳ τοῖς εἰς τὴν ἐνεγκαμένην πεμπομένοις μοι γράμμασι. Μεμνήμεθα δὲ ὧν ἡμῖν ἐπέθηκας προσταγμάτων, ὅσον ἧκει εἰς τὴν τῶν λογικῶν βίβλων διάπεμψιν, κἀπειδὰν ἐζῇ (sic) οὐκ ὀκνήσομεν πειθαρχῆσαί σοι.

Ἐνετίῃθεν, ᾳφη'.

24.

Πίστις εἰς τὸ χρυσόβουλλον τοῦ Σταύρου Ἀψαρᾶ.

Τίμιον ἔργον ἡ ἀρετὴ καὶ τοῖς πᾶσιν αἰδέσιμον, οὐ μόνον τοῖς περὶ τὸν ἔξω ἄνθρωπον πολὺν ἐμποιοῦσα τὸν κόσμον, ἀλλὰ δὴ καὶ τοῖς ἥκουσιν εἰς ψυχὴν ὅτι μάλιστα συμβαλλομένη· πέφυκε δὲ τῷ ἔκδηλος γίγνεσθαι αὐτή τε καθ' ἑαυτὴν μεγίστην τὴν ἐπίδοσιν προσλαμβάνειν καὶ ἄλλους πρὸς τὸν ἑαυτῆς προτρέπεσθαι ἔρωτα. Διά τοι τοῦτο οὐδὲ λήθῃ τὰ καλὰ δεῖ παραδίδοσθαι, ἵνα μὴ ἐξίτηλα γίγνηται, μᾶλλον δὲ διὰ μνήμης κατέχειν ταῦτα διηνεκοῦς ἵνα καὶ οἱ τούτων ἀσκηταὶ τῆς προσηκούσης καὶ ὀφειλομένης σφίσι τιμῆς τυγχάνωσι, καὶ ἄλλοι τῇ τῶν καλῶν ἐκμιμήσει τῶν ἀπ' αὐτῆς γερῶν ἀπολαύωσιν. Ἀμέλει τοι πολλῶν ταύτης κατορθωμάτων αἰτίου γενομένης, ὡς δὲ καὶ εὐεργεσιῶν τῷ πανευγενεστάτῳ κυρίῳ Ἰωάννῃ τῷ Ἀψαρᾷ καὶ πρωτοβεστιαρίῳ, δι' ἣν καὶ τὴν καθαρὰν πίστιν τὴν αὐτοῦ καὶ φρόνησιν καὶ χρυσοβούλλου βασιλικοῦ πάλαι ποτὲ

1) Ἑτέρα γραφή· ἔξεστι.

ἠξιώθη παρὰ τοῦ δεσπότου Ἰωάννου Ἀγγέλου τοῦ Κομνηνοῦ καὶ Δούκα. Ἐπειδὴ ὁ παρὼν κὺρ Σταῦρος ὁ Ἀψαρᾶς, ὁ ἐξ αὐτοῦ καταγόμενος ἠξίωσε τὴν ἡμετέραν ταπεινότητα τοῦτ' αὐτὸ τὴν πρὸς τὸν πάλαι κύριον Ἰωάννην συγγένειαν συμμαρτυρῆσαι αὐτῷ δι' ἡμετέρου γράμματος, ἡμεῖς τὴν τούτου ἀξίωσιν ἅτε δὴ εὔλογον καὶ δικαίαν οὖσαν ἀποδεξάμενοι, καὶ τοῦτο προσβεβαιωθέντες ἔκ τε τῶν βασιλικῶν αὐτῶν χρυσοβούλλων καὶ ἄλλων, τῇ παρ' αὐτοῦ παρακλήσει ἀσμένως καθυπείξαμεν καὶ τὸ παρὸν ἡμέτερον ἰδιόχειρον γράμμα εἰς ἀσφάλειαν ἐνεχειρήσαμεν, ὃ δὴ καὶ τῇ ἡμετέρᾳ σφραγῖδι προσεπεβεβαιώσαμεν.

Κατὰ τὸ αφιζ'' ἔτος τὸ σωτήριον, Ὀκτωβρίου δ῾ φθίνοντος, Ἐνετίησιν.

Ὁ ταπεινὸς Κυθήρων ἐπίσκοπος Μάξιμος.

25.

Πατριαρχική, ἣν ἐποίησεν ὁ αὐτὸς Μάξιμος Σωφρονίῳ τῷ μακαριωτάτῳ Πατριάρχῃ τῆς ἁγ. πόλεως Ἱερουσαλήμ.

Οἱ ἀπανταχοῦ ὄντες πανιερώτατοι μητροπολῖται, θεοφιλέστατοι ἐπίσκοποι, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ ἀδελφοὶ τῆς ἡμῶν μετριότητος, ὁσιώτατοι καθηγούμενοι καὶ πνευματικοί, εὐλαβέστατοι ἱερεῖς τε καὶ κληρικοί. Ὅτι μὲν πᾶσαν τραγῳδίας ὑπερβολὴν ἡ τῆς καθ' ἡμᾶς διαγωγῆς ἐλεεινὴ πολυκίνδυνός τε καὶ πολύδακρυς κατάστασις ὑπερήλασεν, ὡς καὶ αὐτὸ ἀπογινώσκειν τὸ ζῆν, τῇ τῶν δεινῶν κατατρυχομένους ἐπαλληλίᾳ, ταῖς προσθήκαις τῶν θλίψεων, ταῖς τῶν κακώσεων κατανάγκαις καὶ ταῖς ἀνυποίστοις τῶν πειρασμῶν ἐπιφοραῖς, οὐδ' ὑμᾶς λανθάνειν ἡγούμεθα, τέκνα ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, τὸ βάρβαρον τῆς γνώμης, τὸ πρὸς ἔλεον ἀκαμπές, τό τε ἀπηνές τε καὶ τυραννικόν, τὸ πρὸς τὰς ἀκαθέκτους ὁρμὰς τῶν δυσσεβῶν πάντολμον, οἷς ἀρρήτοις κρίμασι Θεοῦ.... καταναγκαζόμεθα, ἐπισταμένους καὶ μάλιστα· ποία γὰρ πόλις, ποία χώρα τόσον μήκιστον ἀπωκισμένη; ποία πιστῶν σύμπνοια; ποία χριστιανῶν ὁμήγυρις συμπάσχειν εἰδυῖα καταπονουμένοις ἀδελφοῖς, πρὸς τὰς παγχαλέπους τῶν βασάνων ἀπειρηκόσι, περὶ τὰ κύρια κινδυνεύουσι, πάντοθεν στενοχωρουμένοις, μονονουχὶ καὶ ἀναπνεῖν οὐ συγχωρουμένοις; Πρὸς τοιαύτην πραγμάτων κατώδυνον φωνὴν ἀνεπαίσθητος μείνειε, καὶ μὴ πρὸς οἶκτον ἐπικαμφθείη καὶ διεγείροι ἑαυτὴν πρὸς ὀλοφυρμόν, καὶ συμπάθειαν; Ἐπεθύμει ποτὲ καὶ Ἱερεμίας ὕδωρ δοθῆναι τῇ κεφαλῇ καὶ πηγὴν δακρύων τοῖς ὀφθαλμοῖς, βαρυαλγήτως ἔχων ἐπὶ πόλει πιεζομένῃ συμφοραῖς, καὶ Νεεμίας οἰκτρὰν ἐνωτισθεὶς κατάστασιν Ἱερουσαλὴμ ἐπὶ πολλοῖς ἐδάκρυσε, καὶ Τωβίτ, Σεναχηρεὶμ βασιλεύοντος καὶ τῶν υἱῶν Ἰσραὴλ καταδυναστεύοντος, τῶν προσηκόντων τῷ γένει οἶκτον λαβὼν παρεμυθεῖτο τοὺς λυπουμένους ἀδελφούς, καὶ τοὺς ἄρτους ἑαυτοῦ τοῖς πεινῶσιν ἐδίδου καὶ γυμνοῖς τὰ ἱμάτια· ἀλλὰ καὶ Σαμαρείτης ἐκεῖνος ἐπὶ τῷ λῃσταῖς περιπεσόντι τραυματίᾳ σπλαγχνισθείς, προσελθὼν τὰ τραύματα ἐθεράπευσεν, ἐπιχέων ἔλαιον καὶ οἶνον καὶ τοῖς ἐπιμελησομένοις αὐτοῦ μετὰ ταῦτα δαψιλῆ, καὶ οἷαν οὐκ ἄν τις εἴποι, ὑπέσχετο ἐν τῷ ἐπανέρχεσθαι τὴν ἀπόδοσιν. Τούτων οἰκτρότερα τὰ καθ' ἡμᾶς, υἱοὶ ἀγαπητοὶ ἐν Χριστῷ, ὑπερακοντίζει καὶ θρήνους ἱερεμιακούς, καὶ πᾶν ὅ,τι παρελήλυθὸς δεύτερον τίθησι πάθος καὶ παντοίαν ἀποκρύπτει γενομένην ποτὲ συμφοράν. Ἀναλάβετε δὴ σπλάγχνα οἰκτιρμῶν καὶ ὑμεῖς, εἴ τις ἐν Χριστῷ ἀγάπη, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί· συγκάμψθητε τῷ δι' ἄκραν φιλανθρωπίαν οὐρανοὺς κλίναντι καὶ κενώσαντι ἑαυτὸν καὶ τὸ τίμιον αὐτοῦ αἷμα ἐν Ἱερουσαλὴμ διὰ τὴν ἡμετέραν ἐκκενώσαντι σωτηρίαν. Ἐξεγειράτω ὑμῶν τὴν κατὰ Θεὸν ἀγάπην ἡ περὶ τὸν τόπον εὐλάβεια, καὶ τὸν παθόντα δι' ἡμᾶς καὶ σταυρὸν καὶ θάνατον ὑπομείναντα ἐν τοῖς δι' αὐτὸν πάσχουσι καθ' ἑαυτοὺς ὑπογράψατε· ἀναβλέψατε συμπαθῶς πρὸς τοὺς ἡμετέρους ὀνειδισμούς, πρὸς τὰς ὕβρεις, πρὸς τὰς ἀμετρήτους δαπάνας, πρὸς τοὺς καθ' ἑκάστην ὑπὸ τῶν τῆς πίστεως ἐχθρῶν ἐπεγειρομένους ἡμῖν ἐπηρεασμούς, πρὸς τοὺς βιαίους ἑλκυσμούς, πρὸς τὴν παντελῆ ἡμῶν ἐξουδένωσιν, καὶ χεῖρα βοηθείας ὀρέξατε, τοὺς ἀπεγνωσμένους σχεδὸν ἀνασώσατε, τοὺς κεκακωμένους τοῖς μέλεσιν ὑμετέρᾳ θεραπείᾳ θεραπεύσατε, ἐλεήσατε, ἵνα ἐλεηθῆτε· σπείρατε δαψιλῶς, ἵνα ἐπ' εὐλογίαις θερίσητε· βάλλετε ἐν χειρὶ πενητευόντων ἀδελφῶν, ἵνα εὕρητε ἐν τῇ παλάμῃ τοῦ δικαστοῦ· δανείσατε μικρά, ἵνα μεγάλα ἀπολαύητε ἐν ἡμέρᾳ ἀνταποδόσεως, ἐλαχίστοις ἀδελφοῖς Χριστοῦ ἀντ' ἐκείνου προσιοῦσιν ὑμῖν· «ὁ γὰρ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται· καὶ ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε». Σπλάγχνα ἀνοίξατε οἰκτιρμῶν, ἵνα ἀνοιχθῇ ὑμῖν ὁ παράδεισος· ποιήσατε φίλους ἐκ τῶν ἐνόντων ὑμῖν, ἵνα αἰώνιοι ὑμᾶς ὑποδέξωνται σκηναί. Ναὶ πρὸς τῆς εὐσεβείας αὐτῆς, τέκνα ἀγαπητὰ ἐν Χριστῷ, ναὶ πρὸς τῆς εἰς Θεὸν καὶ τὸν πλησίον ἀγάπης, τοιαύτας γ' ἔξετε

τὰς ἀντιδόσεις, τοιαύταις ὑμᾶς ταῖς ἀμοιβαῖς ἀντιφιλοτιμήσεται ὁ Χριστός, πρὸς ὃν καὶ ἡμεῖς ὑπὲρ ὑμῶν ἱκεσίους φωνὰς ἀναπέμψομεν, πρὸς ὃν ἀνατενοῦμεν χεῖρας διηνεκῶς, ὃν ὑπὲρ ὑμῶν ἀδιαλείπτως ἐν ἱεραῖς τελεταῖς, ἐν προσευχαῖς, ἐν γονάτων κλίσεσιν ἐπικαλεσόμεθα, ἵνα καὶ ἐν τῷ παρόντι βίῳ παντὸς ὑμᾶς ἀπάγῃ ἀνιαροῦ, παντὸς ἀποκαθαίρῃ ρύπου ἁμαρτιῶν, πάσης ἀπαλλάττῃ ἐπηρείας ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, καὶ κληρονόμους ἀποκαταστήσῃ τῆς αἰωνίου ζωῆς καὶ τῶν ἀρρήτων ἐκείνων ἐν τῷ μέλλοντι ἀγαθῶν. Τέλος παρακαλοῦμεν ὑμᾶς ἐν πνεύματι ἁγίῳ, ὅσοι μὲν κατὰ θεῖον ἔρωτα τῇ τοῦ Ἁγίου Τάφου ἀδελφότητι ὑπεγράφητε, τὸν ὃν ὑπὸ τῆς θείας χάριτος φωτιζόμενοι ὑπέσχεσθε ἀποδοῦναι μισθὸν τοῖς οὓς πέμπομεν πρὸς ὑμᾶς ἀδελφοῖς εἰς διηνεκὲς μνημόσυνον· ὅσοι δ' αὖθις οὐχ ὑπεγράφητε, ἂν γένηται τοῦτο βουλομένοις ὑμῖν τοιαύτῃ θεαρέστῳ προσαχθῆναι ὁρμῇ τε καὶ προαιρέσει, προσάχθητε, τοῦ αὐτοῦ διηνεκοῦς μνημοσύνου ἀντιμεθέξοντες. Οὕτως οὖν ποιήσατε παρακαλοῦμεν ὑμᾶς, ἡ δὲ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος καὶ ἡ παρὰ τῆς ἡμῶν μετριότητος εὐχή τε καὶ εὐλογία εἴη μετὰ πάντων ὑμῶν. Ἀμήν.

Ἐν ἔτει αφιθ'' τῆς ἐνσάρκου τοῦ Κυρίου ἡμῶν οἰκονομίας, κατὰ μῆνα Μάρτιον.

ΣΩΦΡΟΝΙΟΣ πατριάρχης τῆς ἁγ. πόλεως Ἱερουσαλήμ.

ΜΕΛΕΤΙΟΥ ΤΟΥ ΠΗΓΑ.

26.

Κωνσταντίνῳ τῷ Κορνιακτῷ.

Πατέρων εὐσεβῶν, μάλιστα τῆς εὐσεβείας προμάχων, ἠθῶν τε πατρῴων εὐσεβῶς ἐχόντων (ὡς καὶ πατρίδος αὐτῆς οἱ λοιποί) ἐν μέρει τίθημι ἐγώ, καὶ τῶν εὐσεβούντων ἕκαστος κατ' ἐμέ, εὐσεβείας, τοῦτο ὅπερ ὁ παρὼν ἐπαγγέλλεται λόγος, ὁ περὶ τοῦ Πάσχα πονηθεὶς ἡμῖν καὶ τόμος Ἀλεξανδρινὸς προσαγορευθεὶς εἰκότως, ἐπειδὴ καὶ ὁ θρόνος ἐκεῖνος ἡμῶν ἐστιν, ἢ (εἰπεῖν οἰκειότερον) τοῦ θρόνου ἐκείνου ἡμεῖς ἐσμέν, καὶ αὐτὸς ὁ λόγος ἐκείνου τοῦ θρόνου σύμβολα φέρει, τὰς ἐτησίους ἐν Αἰγύπτῳ γενομένας ἀναστάσεις κατ' αὐτὴν τοῦ σωτηρίου πάθους ἡμέραν, καὶ διαμενούσας ἄχρις ὅλης Πεντηκοστῆς, ὃν τρόπον τελεῖται καθ' ἡμᾶς· αὐτὸν δέ σου τῇ τιμίᾳ κεφαλῇ δῶρον πέμπω, τῇ τὰ τῆς παιδείας ἀγαμένῃ· ὑγιαίνων δὲ σὺ δέξοιο μετὰ τῆς ὁμοζύγου καὶ τῶν καλῶν παίδων, ὧν ἐν Χριστῷ τῷ σωτῆρι ὄναιο. Ἔρρωσο.

Μουνυχιῶνος ι', ἔτει σωτηρίῳ αφπζ'.

27.

Θεοδοσίῳ Ἱερομονάχῳ.

Εὐδαιμονίζω σε τῆς σπουδῆς, ὦ φιλότης, ὅτι τὴν γλῶτταν (τὸν ἑνόντα τρόπον) ἐξελληνίζων, πάντως ἐμφαίνεις τὴν πρὸς τοὺς λόγους ἔφεσιν. Ἐπαινῶ δέ σου καὶ τὴν μέριμναν, ἣν ἐμποιεῖ σοι ἡ τῶν Πασχαλίων καινοτομία· ζητεῖς γὰρ ἀκριβῶς τί καὶ ποιήσωσιν οἱ ὀρθόδοξοι τούτου πέρι, ἢ τί φρονεῖν ἔχωσι, καί μοι δοκεῖς τι καὶ δέους συνειληφέναι. Σὺ δ', ὦ γενναῖε, φόβον ἐκεῖ ἐφοβήθης οὗ οὐκ ἦν φόβος· ὅσοι γὰρ ἔξω τῆς Ἐκκλησίας (δι' ἰδίας αἰτίας νομίμως ἐκβληθέντες) εἰσί, τούτων ὅ τί ποτε καὶ ποιήσωσιν ἀφροντιστέον· οὐ γὰρ πρὸς ἡμᾶς τῶν ἔξω τὰ πράγματα. Μὴ τοίνυν ἀμφίβαλλε τοῖς πατρῴοις ἴχνεσιν ἕπεσθαι· εἰ γὰρ καί τι κατὰ τὴν ἰσημερίαν τοῦ κανονίου ἡ ἀκρίβεια διαπταίει τοῦ τῶν πατέρων, ἀλλ' ἐπειδὴ πρὸς τὴν τοῦ ἰουδαϊκοῦ φάσαι (sic) ἐξεύρεσιν ἥρμοσται τὸ κανόνιον, ὅσῳ πλέον ὀπίσω δράμωσιν Ἑβραίων παῖδες τοσούτῳ τοῦ ἡμετέρου Πάσχα ἀποδιϊστάμεθα τὴν ἑορτὴν μακρότερον· δέος γὰρ ἦν τοῖς πατράσιν (ὡς καὶ ἐν τοῖς τῶν Ἀποστόλων κανόσιν ἔστιν ἰδεῖν) μή ποτε ἔνδον τῆς ἰσημερίας πασχάζοντες ἢ ἐπὶ τῆς ἰσημερίας ἢ ὅλως συμπίπτοντες τῷ ἰουδαϊκῷ φάσαι, ἰουδαΐζοιμεν· διὸ καὶ ἡ ἰσημερία τετήρηται, καὶ μετὰ τὴν ἰσημερίαν ἡ πρώτη πανσέληνος, μεθ' ἣν ἡ πρώτη Κυριακή, ἐν ᾗ τὸ ἡμέτερον Πάσχα. Τοιγαροῦν πρὸς τὴν τοῦ σωτηρίου πάθους αὐθωρὸν ἰσημερίαν τὸ κανόνιον πανσόφως καὶ πανευσεβῶς οἱ πατέρες συνέθεντο· καὶ εἰ μετέπειτα μετὰ τοσαύτας ἐτῶν ἀνακυκλήσεις τρεῖς που ἡμέρας καὶ μικρόν τι πρὸς ἡ ἰσημερία παρακάτεισι, τοῖς Ἰουδαίοις φέρει τινὰ ζάλην ἢ μηδὲ ἐκείνοις εἰπεῖν ἀληθέστερον· οὐ γὰρ πρὸς τὸ ἡμέτερον κανόνιον ῥυθμίζουσιν ἐκεῖνοι τὸ οἰκεῖον φάσαι· Ἡμῖν δὲ οὐδένα ποτὲ ἐμποιήσει κλόνον· παγεῖς γὰρ καθάπαξ τῆς ἰσημερίας ὁ ὅρος, λοιπὸν ἡμᾶς τῶν Ἰουδαίων ἀποδιΐστησι, καὶ ὅσον ἐκεῖνοι τοῦ ὅρου ἀφίστανται τοσοῦτον ἀποσχοινιζόμεθα ἐκείνων ἡμεῖς τοῦτο, ὅπερ ἦν τοῖς πατράσι τὸ σπουδαζόμενον. Μαθὴσῃ δὲ τρανώτερον ἐκ τῆς ὑποτεταγμένης ὑποσημειώσεως τῶν ἰσημεριῶν, ἃς ἔν τινι παλαιᾷ βίβλῳ οὕτως ἀναγεγραμμένας εὗρον.

Ταῦτά σοι ἐν μέσοις φροντίσιν ἐγχαράττομεν, τὴν σὴν δυσωπηθέντες εὐλάβειαν. Ἔρρωσο ἐν Κυρίῳ.

Ἐν Αἰγύπτῳ, αφπε', Ἀνθεστηριῶνος ιη'.

Μελέτιος μέγας πρωτοσύγκελλος.

Ἰσημερίαι.	Μάρτ.
δ,ψνς′	κε
,ενς	κδ
,ετνς	κγ
,εχνς	κβ
,Ϡενς	κα
,ϛσνς	κ
,ϛφνς	ιθ
,ϛωνς	ιη

Ὁ παρὼν αἰὼν ἐν ἰσημερίᾳ τρέχει δεκάτῃ ὀγδόῃ καὶ μικρόν τι τοῦ Μαρτίου, ἄχρις οὗ διαδράμωσι τριακόσια ἔτη· οὕπω γὰρ διέδραμον, ἐπειδὴ ζλγ′ ἔτος ἄγομεν. Εἰ οὖν ἡ πανσέληνος τύχοι ἔνδον τῆς ὀκτωκαιδεκάτης ἢ καὶ ἐν αὐτῇ τῇ ὀκτωκαιδεκάτῃ καὶ μικρόν τι πρὸς τοῦ Μαρτίου, ἑατέα μὲν ἐκείνη, ἐπειδὴ οὔπω νέον ἔτος γέγονε, καὶ λοιπὸν αὕτη ἡ πρώτη πανσέληνος, τουτέστιν ὁ πρῶτος μὴν τοῦ νέου ἔτους κατὰ τὴν μωσαϊκὴν διάταξιν, ἀλλ' ἔτι τοῦ παλαιοῦ ἔτους ἔστιν. Ἑατέα τοίνυν ἐκείνη καὶ ἡ πρώτη ἐρχομένη τηρητέα, μεθ' ἣν ἡ πρώτη Κυριακὴ τὸ χριστιανικὸν Πάσχα ἐστίν· ὅπερ ὤφειλον καὶ Λατῖνοι καὶ Ἰουδαῖοι πέρυσι ποιῆσαι. Ἐκεῖνοι δὲ τὴν πανσέληνον τηρήσαντες, ἥτις κατὰ τὴν ιη′ τοῦ Μαρτίου γέγονεν, ἔλαθον ἑαυτοὺς δὶς πασχάσαντες ἐν ἑνὶ ἔτει· ὅθεν καὶ ἐποίησαν τὴν ἑορτὴν τοῦ Πάσχα μῆνα ἕνα πρὸ ἡμῶν, αἴσχιστα πλανηθέντες.

Ὁ Μελέτιος.

28.

Ἀνδρονίκῳ τῷ Καντακουζηνῷ.

Θρηνεῖς τὰς τινῶν ἀταξίας, ἐγὼ δὲ τὰς πάντων, ἐν οἷς καὶ τὰ κατ' ἐμὲ συναριθμήσαιμ' ἄν· παρ' ὀλίγον γὰρ εἰσακουόμενος καὶ διδάσκων καὶ κρίνων καὶ νουθετῶν, οὔπω καὶ τήμερον πέπεισμαι τῶν πάντων ἀφέμενος τὰ κατ' ἐμὲ λοιπὸν πράττειν· τῇ δὲ τοῦ Θεοῦ χαριζόμενος ἀγάπῃ καὶ τῇ πρὸς τοὺς πέλας καμπτόμενος φιλανθρωπίᾳ, καὶ σοῦ γε τῆς συνέσεως παρακαλούσης τὰ κατὰ τὸν ἱερέα τουτονὶ εἰς κρίσιν (εἰ δυνατὸν) ἄξας, δικαιοσύνη δεκάσω σὺν Θεῷ. Ἔρρωσο, τιμιώτατον τέκνον.

ιβ$^{\alpha}$ Ἰαννουαρίου, ,ζρβ′.

29.

Τῷ εὐγενεστάτῳ κυρίτζῃ Γεωργίῳ Κατακουζηνῷ.

Καὶ τοῖς δευτέροις τοῖσδε γράμμασι τῆς σῆς εὐγενείας ἐνέτυχον, παρακαλοῦσιν ἡμᾶς ἀπᾶραι ὅσον τάχος τῶν τῇδε εἰς Κωνσταντινούπολιν, ἵνα λαῷ ὅλῳ χαρισώμεθα ἡμᾶς αὐτοὺς δηλονότι, καθὰ δὴ καὶ οἱ λοιποὶ παρεδήλωσαν. Ἡμεῖς μὲν οὖν τηλικαύτῃ εὐχαριστοῦμεν ἀγάπῃ, καὶ πρότερον καὶ νῦν διατελούσῃ τὰ καθ' ἡμᾶς αἴρειν εἰς ὕψος, τὰ μηδὲν ὄντα· καὶ νὴ τὴν ὑμετέραν ἀγάπην, οὐδ' αὐτοὶ πρὸς τὴν ὑμετέραν καὶ τῶν λοιπῶν πάντων αὐτόθι ἀστόργως, ἀλλὰ φιλοστόργως καὶ πατρικῶς ἔχομεν. Πλὴν τοσαύτην τηλικούτου θρόνου καὶ ἄκοντες παραιτούμεθα κηδεμονίαν, μὴ τῷ βάρει ὑπεισελθόντες, εἶτα φέρειν μὴ δυνάμενοι κατοκλάσωμεν· ἀλλὰ καὶ βουλομένους ἡμᾶς ἐλθεῖν οὐ κατεῶσιν οἱ ἡμέτεροι Ἄραβές τε καὶ Ρωμαῖοι τοῖς δάκρυσι μιγνῦντες τὰς ἀπειλάς. Μεμερισμένοι τοίνυν ὑπ' ἀγάπης καὶ αὐτόσε ὅθεν καλούμεθα, καὶ ἐνταῦθα ὅποι κατεχόμεθα μένομεν κατὰ χώραν, παρακαλοῦντες τὸν τῶν ὅλων Δεσπότην βραβεῦσαι τῇ αὐτοῦ Ἐκκλησίᾳ ποιμένα κατὰ τὴν αὐτοῦ καρδίαν, τοῦ μὴ βουλομένου τινὰς ἀπολέσθαι, ἀλλὰ πάντας εἰς μετάνοιαν ἐλθεῖν, ἵνα καὶ ὑμῶν αἱ καρδίαι πνευματικὴν ἄγωσι χαρὰν καὶ ἡμεῖς συνευφραινώμεθα τῇ δόξῃ καὶ εὐημερίᾳ τοῦ οἰκουμενικοῦ Θρόνου συνεπαιρόμενοι. Ἔρρωσο ἐν Κυρίῳ, εὐγενέστατον τέκνον.

Ἀπριλίου β$^{\alpha}$, ,ζρδ′.

30.

Τῷ εὐγενεστάτῳ κυρίτζῃ Ἀντωνάκῃ τῷ Βλαστῷ.

Εὐγενέστατον τέκνον, εἰρήνη σοι σὺν τῇ τιμιωτάτῃ συζύγῳ καὶ τέκνοις καὶ πᾶσι τοῖς οἰκείοις. Ὅτι μὲν οἱ λοιποὶ καὶ ἄρχοντες καὶ ἀρχιερεῖς καὶ ἱερεῖς γράφουσι παρακαλοῦντες ἡμᾶς αὐτόθι, θαυμαστὸν οὐδέν· ἴσως γὰρ ὑπολαμβάνουσιν ὅτι βουλόμεθα καὶ ἡμεῖς τὰς μεγάλας δόξας· σὺ δὲ ὁ τὰ κατ' ἐμὲ γινώσκων, κυρίτζη Ἀντωνάκη, πῶς γράφεις; οὐκ οἶδας ὅτι ἀλλοτρίως ἔχω πάσης ἐγὼ δόξης καὶ φιλοτιμίας, καὶ δὴ καὶ τοῦτον τὸν ὑψηλότατον θρόνον ἄκων δέδεγμαι ὑπακούσας τῷ μακαρίτῃ τῷ γέροντι, καὶ βιασθεὶς ὑπὸ τοῦ λαοῦ; καὶ νῦν στενάζω οὐκ ἔχων πῶς ποιμάνω τὸν λαὸν τοῦ Θεοῦ εὐαρέστως τῷ Θεῷ. Αἱ ἡμέραι χαλεπαί, ἡ ἀσέβεια ἀνείκαστος, σκληροὶ οἱ ἄνθρωποι, ἄπορος παντὸς ἀγαθοῦ ὁ κόσμος, πῶς οὖν ἐν μέσῳ τῶν κυμάτων διασώσομεν τὸ σκάφος; Οἶδα ὅτι τοῦ Κυρίου ἡ ἀντίληψις, ἀλλὰ καὶ ἡμῶν ὁ ἀγών· εἰ γὰρ καὶ μάτην ἠγρύπνησεν ὁ φυλάσσων, ἐὰν μὴ Κύριος φυλάξῃ, ἀλλὰ δεῖ ἀγρυπνεῖν· πλὴν ἐγὼ τῷ Θρόνῳ τῷ οἰκουμενικῷ καὶ πρεσβύτερος, καὶ πατριάρχης πολλὰ ἐβοήθησα σὺν Θεῷ, καὶ κάλλιον πάντων οἶδεν ἡ σὴ τιμιότης καὶ τοὺς κινδύνους τοὺς ἐμοὺς καὶ τὰς ἀσθενείας μου καὶ τοὺς πολέμους, οὓς αὐτόθι ἐξήντλησα ὑπὲρ τοῦ κοινοῦ. Εὐχαριστῶ δὲ τῷ Θεῷ, ὅτι πάντες τοῖς ἡμετέροις ἐκάμφθησαν πόνοις· νῦν καὶ ἡμεῖς γηραιοί, καὶ οὐ δυνάμεθα, ἀλλὰ καὶ τὸ ποίμνιον τοῦτο οὐκ ἐᾷ, εἴγε καὶ βουλοίμεθα ἐλθεῖν, καὶ τὴν ἐξωτέραν δυνα-

στείαν ἐπαπειλοῦσι. Φοβούμενος οὖν μὴ βουλόμενος ὑμῖν χαρίσασθαι, προσκρούω τοῖσδε τοῖς ἀδελφοῖς, καὶ καταποθῶσι τῇ περισσοτέρᾳ λύπῃ· ἔχετε οὖν τὸ παρὸν γράμμα πάντες εἰς ἀπόκρισιν κοινήν· καὶ τοῦτο γὰρ ὑπὸ ἀσθενείας ἐμποδιζόμεθα τοῦ δύνασθαι πρὸς ἕκαστον γράφειν οἷ ἔγραψαν. Διὸ καὶ παρακαλοῦμεν τὴν σὴν τιμιότητα, ἵνα ἑκάστῳ παρ' ἡμῶν εὐχαριστήσῃ ὑπὲρ τῆς πρὸς ἡμᾶς ἀγάπης καὶ δηλώσῃ αὐτοῖς τὰ καθ' ἡμᾶς· ὁ Θεὸς δὲ τῆς εἰρήνης τὴν Ἐκκλησίαν αὐτοῦ μὴ ἐάσαιτο ἀκυβέρνητον ἐπὶ πολὺ εἰς ὑμῶν καὶ ἡμῶν ἀγαλλίασιν. Ἔρρωσο τιμιώτατον τέκνον. Β$^{\alpha}$ Ἀπριλίου, ,ζρδ′.

31.

Τοῖς ἐν Κωνσταντινουπόλει εὑρισκομένοις ἱερωτάτοις ἀρχιερεῦσιν, ἱερεῦσιν εὐλαβεστάτοις, λογιωτάτοις κληρικοῖς, εὐγενεστάτοις ἄρχουσι, καὶ παντὶ τῷ χριστωνύμῳ τῶν ὀρθοδόξων λαῷ τοῖς ἐν Κυρίῳ ποθεινοτάτοις, χάριν.

Εὐχαριστοῦμεν, ἀδελφοί, τῷ φιλανθρώπῳ Θεῷ περὶ τῆς ὑμετέρας πρὸς ἡμᾶς καὶ ἀγάπης καὶ σπουδῆς, ἣν καὶ πάντοτε καὶ νῦν πάλιν ἐνεδείξασθε πρὸς ἡμᾶς τοὺς εὐτελεστάτους καὶ ἀχρείους δούλους τοῦ Θεοῦ· κοιμηθέντος γὰρ τοῦ μακαρίτου κὺρ Ἱερεμίου καὶ προκειμένης ζητήσεως περὶ ποιμένος τοῦ τὸν οἰκουμενικὸν κυβερνήσοντος θρόνον, ἐλαλήθη δὴ καὶ ἐγράφη πρὸς ἡμᾶς καὶ περὶ ἡμῶν τὰ τῆς ἀγάπης μεστά, περὶ ὧν καὶ τῇ ἡμετέρᾳ εὐλαβείᾳ εὐχαριστοῦμεν. Ἀλλ' ἐπειδὴ οὐ δυνάμεθα παραγενέσθαι σωματικῶς (καί περ ἐλπίζομεν ἕως τῆς σήμερον ἔχειν ὑμᾶς διωρθωμένον τὸ πᾶν), παρακαλοῦμεν τὴν ὑμετέραν ἀγάπην ἀποθέσθαι τὰ οἰκεῖα ἕκαστον καὶ φροντίσαι τοῦ κοινοῦ, καὶ μεριμνῆσαι τὰ τοῦ Σωτῆρος ἡμῶν, πρὸς ὃν ἡμῶν ὁ λόγος ἐν ἡμέρᾳ κρίσεως[1]. Ποιήσατε οὖν κατὰ τὸν νόμον τοῦ Κυρίου ἄξιον ἀρχιερέα, ἵνα καὶ ὑμεῖς παραπολαύσητε τῆς νομίμου ἐγχειρίσεως, οὐ μόνον εὐχὴν καὶ εὐλογίαν πνευματικὴν ἀλλὰ καὶ εὐημερίαν σωματικήν· τὸ γὰρ παράνομον καὶ κίνδυνον φέρει ψυχικόν, καὶ τὸν βίον θορυβεῖ καὶ φθείρει, καθὼς βέλτιον ὑμεῖς οἴδατε, πείρᾳ μαθόντες τὰ δεινὰ καὶ πρῶτον ὑμεῖς ἀπολαύσαντες τῶν κακῶν, ἅπερ ἡ παρανομία ἔφερεν εἰς τὸν θρόνον. Οἴδατε γὰρ καὶ θανάτους κακοὺς πολλῶν, καὶ δημεύσεις πολλάς, καὶ τὴν ἐκκλησίαν ἐδαφισθεῖσαν, καὶ τὸν ὀρθόδοξον λαὸν γεγενημένον τοῖς ἔθνεσιν ἐμπαιγμόν, καὶ ὑμᾶς αὐτοὺς μυρίοις συμπεπλεγμένους κακοῖς, δι' ἃ καὶ ἡμεῖς ἐκοπιάσαμεν πολλά. Τοῦτο οὖν παρακαλῶ τὴν ὑμετέραν εὐλάβειαν, κατὰ τὸν νόμον ποιῆσαι ἀρχιερέα, μάλιστά γε ἔχοντες καὶ τὴν βασιλείαν τὸ αὐτὸ παραγγέλλουσαν· διὸ καὶ βαρύτερον ἔσται καὶ τὸ κρῖμα καὶ ἡ αἰσχύνη ἐὰν μὴ γένηται τὸ πρᾶγμα, ὡς προστάσσουσιν οἱ νόμοι τοῦ μεγάλου Θεοῦ, καὶ δὴ (Θεοῦ καὶ τοῦτο δεδωρημένου) καὶ ἡ ἐξωτέρα δυναστεία. Ὁ δὲ Θεὸς τῆς ἐλπίδος ἡμῶν, ὁ ποιμὴν ὁ μέγας, καταρτίσαι ὑμῶν τὰ κατὰ Θεὸν διαβήματα εἰς ὑμῶν σωτηρίαν καὶ ἡμετέραν εὐφροσύνην· ἀμήν.

Ἐν Ἀλεξάνδρου πόλει, Ἀπριλίου δ′, ,ζρδ′.

32.

Μιχαὴλ τῷ Καββάκῳ.

Λύπην ἐλύπησας ἡμᾶς οὐ μετρίαν (ἀφίημι γὰρ τὰ περὶ Κωνσταντινουπόλεως καὶ τὰ περὶ Πολωνίας, ὧν τὴν εὔνοιαν καὶ παρὰ πολλῶν ἄλλων καὶ ἐν πολλοῖς ἄλλοις τεκμηρίοις καὶ ἄλλοτε μαθόντες, ἠχαριστήσαμέν τε καὶ εὐχαριστοῦμεν, καθὼς καὶ τῇ σῇ ἀγάπῃ, ἀλλά γε τὴν λύπην, ἣν ἡμᾶς ἐλύπησας οὐ μετρίως φέρομεν). Ἔκλινας τὴν σὴν τιμίαν καὶ ὀρθόδοξον κεφαλὴν λαβεῖν εὐλογίαν παρὰ τῶν ἔξω τῆς τοῦ Χριστοῦ ἀληθινῆς αὐλῆς διὰ γυναῖκα; πῶς ἐτόλμησας; πῶς ἔφερες τόσην ὕβριν; οἱ εὐσεβεῖς διὰ τὴν εὐσέβειαν καὶ γυναικῶν καὶ τέκνων καὶ γονέων, κατὰ τὴν εὐαγγελικὴν τοῦ Σωτῆρος φωνήν, χωρίζονται, καὶ σὺ διὰ γυναῖκα τῆς εὐσεβείας ἐξέκλινας; οὐκ ἦν ἄξιος ὁ Καββάκος λαβεῖν γυναῖκα καθ' ὅλην τὴν οἰκουμένην μετὰ τιμῆς καὶ πλούτου, δίχα παραβλέψαι τὴν εὐσέβειαν; ὅμως τοῦ διαβόλου καὶ τοῦτο παγίς, τοῦ διὰ γυναικὸς τοῦ παραδείσου ἐξορίσαντος τὸν Ἀδάμ. Ἀλλ' ἐπειδὴ καὶ σὺ τὴν ἀτοπίαν μισεῖς καὶ συγγνώμην αἰτεῖς, ἔχε συγγνώμην παρὰ τοῦ φιλανθρώπου Θεοῦ καὶ σπούδασον πεσὼν σὺ διὰ τὴν γυναῖκα κερδῆσαι καὶ αὐτὴν τῷ Χριστῷ. Εὖ οἶδα ὅτι ὑπακούσεταί σοι μετὰ προθυμίας ποδηγοῦντί σοι, ὃν ἐγὼ καὶ φρόνιμον καὶ εὐσεβῆ καὶ τῶν τοῦ κόσμου πραγμάτων ἐμπειρότατον ἔγνων· ἀλλὰ καὶ τὰ τέκνα εἴτινα ἐξαποστείλῃ Κύριος, ἐν τῇ τῶν ὀρθοδόξων ἐκκλησίᾳ βάπτιζε ἀπαραιτήτως· τοῦτο γὰρ οὐ συγχωρῶ τὸ παράπαν· σὺ δὲ ἐφ' οἷς ἔπραξας ἀτόπως ἔσο συγκεχωρημένος, ἐπείπερ μετανοεῖς, καὶ ἔκλεξέ σοι πνευματικὸν ἄνθρωπον αὐτόθι, ὃς σοι ἐπιτιμήσει κανόνα τινά, ὃν καὶ τελειώσας ἀξιωθήσῃ τῶν ἀχράν-

1) Ἐν τῇ ὥρᾳ: «Οὐδὲν ἐποίησαν, ἀλλὰ τοὐναντίον ἅπαν».

των μυστηρίων μετὰ διετίαν. Φανέρωσον οὖν τὸ παρὸν γράμμα τῷ σῷ πνευματικῷ, ἵνα γνωρίσῃ ὅτι ἔλαβες μετανοήσας ἄφεσιν ὧν ἡμαρτες· καὶ ὁ Κύριος μεθ' ὑμῶν. ,ζρδ'.

33.

Τῷ οἰκουμενικῷ πατριάρχῃ Γαβριήλ.

Οὐκ Ἀργειφόντης, ὡς ἔφης, ἀλλὰ Προμηθεὺς (οὐδὲ γὰρ γράμματα, ἀλλὰ πῦρ, εἰ καὶ μὴ κλέψας) ἦκε κομίσας ὁ ἡμέτερος ἱεροδιάκονος. Οὕτως ἦν σου τὰ ἱερὰ γράμματα πυρίπνοα, θερμῶς ἄγαν ἀξιοῦντα, ἐκλιπαροῦντα (τοῖς σοῖς γὰρ χρήσομαι ῥήμασι), δεόμενα τῆς ἡμετέρας μὴ ἀποτυχεῖν ἀφίξεως πάλιν εἰς Θράκην, τῶν ὑμετέρων οὕτως ἀπαιτούντων πραγμάτων. Ἐγὼ μὲν οὖν ὑπεσχέθην μέν σου τῇ ἱερᾷ καὶ φίλῃ κεφαλῇ παρεσόμενος (δεῆσαν) συμπαραντιταξόμενος κατὰ τῶν τῇ Ἐκκλησίᾳ παρενοχλούντων, καὶ νῦν οὕτως ὑπερκαῶς ζητούμενός τε καὶ προσκαλούμενος ὥρμησα ἂν εὐθύς, ἀλλά με μικρόν τι παρενεπόδισεν ἡ νόσος, μεθ' ἣν πορεύσομαι σὺν Θεῷ παραμυθησόμενος τοὺς ἡμετέρους Ἄραβας, καί γε πείσεσθ' οἰω· παρευθύς τε ἐμβήσομαι (κατελθὼν εἰς Ἀλεξάνδρου) τὸ πρῶτον τὴν αὐτόσε στελλόμενον πλοῖον· εἰ μή τινι κωλύσωσιν ἐξουσίᾳ βασιλικῇ οἱ ἐμοὶ Ἄραβες, πάντως δὴ σὺν Θεῷ ἐλευσόμεθα. Σὺ δὲ καὶ τὴν παράνομον χειροτονίαν τοῦ ἐπισκόπου Σινᾶ Λαυρεντίου, τοσούτοις τηλικούτων συνόδων οἰκουμενικῶν ἐναντίαν κανόσι, καὶ ἡμῶν ἀπόντων διάκρινε, καὶ μανθανέτω ἡ τοῦ Χριστοῦ Ἐκκλησία ξύμπασα ὡς πλουτεῖ ἀρχιερέων οἷς ἐστι φῶς ὁ νόμος, ἥκιστα δὲ αἱ ἴδιαι παλίμβουλοι καὶ ἄλογοι ὁρμαί, ὡς μικρὸν πρότερον. Ἔρρωσο ἐν Κυρίῳ, ὑπερπόθητε δέσποτα. ,ζρδ'.

34.

Τῷ Θεσσαλονίκης μητροπολίτῃ σὺν τοῖς ὑπ' αὐτὸν ἐπισκόποις.

Γνωρίζομεν τῇ ὑμετέρᾳ ἀγάπῃ, ὅτι ἀποθανόντος Θεοφάνους τοῦ πρώην Ἀθηνῶν ἐν Κωνσταντινουπόλει θάνατον ὀξύν, οἷς οἶδε κρίμασιν ἡ τοῦ Θεοῦ πρόνοια, εὐθὺς ὡς ἠκούσθη ἐν τῇ αὐλῇ τοῦ βασιλέως ἐμηνύθημεν παρὰ τῶν κρατούντων, ἵν' ἐξ ἀποφάσεως δεχθῶμεν τὸν θρόνον τοῦτον τὸν πατριαρχικόν τε καὶ οἰκουμενικόν, ἀποβαλλόμενοι τὰς προφάσεις πάσας, ἃς προετείνομεν. Ἡμῶν οὖν οἴκαδε ἀναχωρησάντων ἀπὸ τῶν κρατούντων, ὡς διασκεψομένων περὶ τηλικούτου πράγματος καὶ τοιούτου μηνύματος, ἐξῆλθε πρόσταγμα βασιλικόν, ὅτι ὁ κράτιστος βασιλεὺς (ὡς ἔλεγε πρὸς ἡμᾶς ὁ τὴν ἀγγελίαν φέρων) ἐδωρήσατο τῇ ἡμετέρᾳ βραχύτητι τὸν οἰκουμενικὸν θρόνον. Τέλος ἀσπασάμενοι τὴν χεῖρα τοῦ πρωτεύοντος ἐν τῷ Βουλευτηρίῳ τῷ βασιλικῷ, τὴν τελείωσιν τῆς τοιαύτης ἀξίας τε καὶ ἐξουσίας τῆς πατριαρχικῆς ἀνεθέμεθα εἰς τὴν συνέλευσιν τῆς ἱερᾶς συνόδου τῶν ἀρχιερέων. Διὰ τοῦτο διὰ τῶν παρόντων γραμμάτων μηνύομεν τε καὶ ἐντελλόμεθα τῇ ὑμετέρᾳ ἀγάπῃ, ἵνα δίχα τῆς οἱασοῦν προφάσεως ἀμελητὶ παραγένησθε ὧδε πρὸς ἡμᾶς, συνδρομὴν πᾶσαν καὶ βοήθειαν προεπιφέροντες τῇ ἡμετέρᾳ βραχύτητι, ὥστε δυνηθῆναι τηλικοῦτον ὄγκον φέρειν εὐαρέστως Θεῷ καὶ τοῖς φιλοθέοις ἀνδράσι, καὶ ἐλευθερωθῇ ὁ κόσμος ἅπας, ἐξόχως δὲ ἡ ὑμετέρα εὐλάβεια, πολλῶν καὶ δεινῶν πειρασμῶν σωματικῶν τε καὶ πνευματικῶν. Μὴ οὖν ἀλλοτρόπως ποιήσητε ἐξ ἀποφάσεως, μὴ ἀναγκασθῶμεν ἄλλης ἀντιλαβέσθαι βουλῆς, ἡμῖν μὲν ἀσφαλεστέρας, χαλεπωτέρας δὲ τῇ ὑμετέρᾳ ἀγάπῃ. Ἔρρωσθε. Ἀπριλίου ζη, αφιζ'.

35.

Τῷ εὐγενεστάτῳ καὶ τιμιωτάτῳ ἄρχοντι κυρίτζῃ Δημητρίῳ τῷ Παλαιολόγῳ, υἱῷ ἐν Κυρίῳ περιποθήτῳ, χάριν, ἔλεος, καὶ εἰρήνην.

Ἐκ τῶν γραμμάτων τῆς σῆς τιμιότητος ἔγνων ὅτι εὑρίσκῃ παρὰ τῷ εὐσεβεστάτῳ ἡγεμόνι Μολδοβλαχίας κυρίῳ Ἱερεμίᾳ, καὶ ὅτι καλῶς διάγετε, ἐπὶ πᾶσι δὲ τὴν ἀγάπην τὴν πολλὴν ἣν ἔχετε πρὸς ἡμᾶς, καὶ ὅτι μεγάλα ἐπιποθεῖτε ἰδεῖν ἡμᾶς, καὶ εἰς τοῦτο ἐγράψατε παρακαλοῦντες ἐλθεῖν ἡμᾶς, ὅτι μεγάλαι τιμαὶ καὶ ὑπερφυεῖς δεξιώσεις ἀκολουθήσουσιν ἡμῖν παρά τε τοῦ λαμπροτάτου αὐθέντου καὶ παρὰ τῶν ὑπερφυῶν ἀρχόντων. Εὐχαριστῶ οὖν τῷ Κυρίῳ ὅτι καλῶς ἔχετε, καὶ παρακαλῶ πάντοτε καλῶς ἔχειν ὑμᾶς· εὐχαριστῶ δὲ καὶ τῇ ὑμετέρᾳ ἀγάπῃ, ἣν καὶ πρότερον εἴχετε πρὸς ἡμᾶς, ἀλλὰ καὶ ἡ εὐγένειά σου ἀκριβῶς γνωρίζει, ὅτι ἀπ' ἀρχῆς ἀγαπῶμεν τὴν σὴν τιμιότητα ὡς γνήσιον υἱόν. Πλὴν οὐκ ἤλθομεν, διότι ὁ λαὸς ὅλος, καὶ ἄρχοντες, καὶ κληρικοὶ καὶ ἀρχιερεῖς, ἔτι δὲ καὶ οἱ πασάδες καὶ ὁ πολυχρονημένος βασιλεύς, ἐκράτησαν ἡμᾶς καὶ μὴ βουλομένους, ἐπειδὴ τῷ ἀώρῳ θανάτῳ τοῦ Καρύκη ἐδεήθη ποιμένος ἡ Ἐκκλησία· καὶ τοῦτό ἐστι τὸ ἐμπόδιον, οὐχ ὅτι ἤκουσα λόγια, καθὼς ὁ λαμπρότατος αὐθέντης νομίζει. Εἰς ὅσον διὰ τὰ ὑμῶν ὀσπήτια εἰς πατριαρχεῖον, καλά ἐστι καὶ μεγάλα, καὶ αὐτὸς πάλιν ἐπορεύθην καὶ ἠρεύνησα, ἀλλὰ ἡ μεγάλη πτωχεία

οὐκ ἀφίησιν ἡμᾶς διϊσχυρίσασθαι· διὸ καὶ μένομεν ἔτι ἐν οἰκίσκοις ξένοις, ὡς πάροικοι, καὶ εἰ ἐβούλετο, καθὼς γράφεις, ὁ ἐκλαμπρότατος αὐθέντης βοηθῆσαι, καὶ ἡ σὴ ἀγάπη ἠδύνατο μετὰ τοῦ αὐθέντου περὶ τούτου φροντίσαι καὶ προσηλῶσαι τῇ Ἐκκλησίᾳ τὰ ὀσπήτια εἰς πατριαρχεῖον, ἅπερ καθ' ἡμέραν ἐρημοῦνται καὶ κλέπτονται καὶ τὰ σιδήρια, καὶ ἔχουσι χρείαν πολλῶν χρημάτων εἰς ἀνάκτησιν. Ἡμεῖς δὲ οὐδὲ τὸ χαράτζιον τῆς βασιλείας ἔχομεν δοῦναι· ἔλαβε γὰρ αὐτὸ ὁ Καρύκης παρὰ τῶν ἀρχιερέων μετὰ καὶ βοηθείας, οὐκ ἀπέδωκε δὲ εἰς τὴν βασιλείαν. Τὰ ἄλλα δὲ τὰ ἄπειρα χρέη, περὶ ὧν ὁ πολυχρονημένος βασιλεὺς ἐπρόσταξε μὴ ἀποκρίνασθαι ἡμᾶς ὅλως, ἔχομεν καὶ περὶ ἐκείνων πολλὰ σκάνδαλα, ἐπειδὴ μεγάλοι τινὲς ἄνθρωποι καὶ Μουσουλμάνοι καὶ Ἑβραῖοι ἔχουσι λαβεῖν, καὶ εὑρισκόμεθα εἰς πολλὴν ἀθυμίαν, μάλιστα δὲ οὐδὲ ἅγιον μύρον ἔχει ἡ Ἐκκλησία, καὶ χρεία καὶ περὶ τούτου πολλῆς δαπάνης. Ἐγὼ δὲ τρεῖς ἤδη μῆνας κρατῶν τὴν Ἐκκλησίαν, οὔπω εἶδα τὴν πρέπουσαν βοήθειαν παρ' οὐδενός· ἀλλὰ καὶ οἱ ἀρχιερεῖς ἀμελῶς καὶ ψυχρῶς (ὡς οἶδας) περιπατοῦσι, μάλιστα ἐπειδὴ γνωρίζουσιν, ὅτι ἡμεῖς οὐκ ἐμβάλλομεν εἰς δεσμὰ καὶ φυλακάς. Διὰ ταῦτα πάντα βούλομαι ὁ ταλαίπωρος ἀναχωρῆσαι· κοπιάζειν γὰρ καὶ πάντα τὰ ἄλλα ποιεῖν προθύμως ἔχομεν, καθὼς καὶ ποιοῦμεν, πάντων θαυμαζόντων Θεοῦ χάριτι, χρήματα δὲ οὐκ ἔχω, ὡς οἴδατε πάντες, οὐδὲ δύναμαι, οὐδὲ θέλω πωλεῖν τὰ τοῦ Χριστοῦ μυστήρια καὶ λαμβάνειν χρήματα· ὅθεν φοβοῦμαι μήπως ἀναχωρήσω πάλιν· χαλεπὰ τὰ πάντα. Σὺ δὲ ὑγιαίνοις, τέκνον ποθεινότατον, εὐημερούμενος καὶ εὐθυνόμενος παρὰ τοῦ Σωτῆρος ἡμῶν· ἀμήν.

Ἐν Κων/πόλει, ις' Ἰουνίου ,ζρε'.

Ἐὰν διαβῶσιν ἄνθρωποι ἡμέτεροι, δείξατε πρὸς αὐτοὺς σπλάγχνα οἰκτιρμῶν.

37.

Τῷ ἱερωτάτῳ Ρόδου μητροπολίτῃ κὺρ Παϊσίῳ[1], ὑπερτίμῳ καὶ ἐξάρχῳ τῶν Κυκλάδων νήσων, ἐν Κυρίῳ περιποθήτῳ, χάριν, ἔλεος καὶ εἰρήνην.

Οἰμώζεις ταῖς τῆς κακίας διαδόσεσι, καί

1) Τὸ ἐν σελ. 57 μνημονευθὲν τῆς καθαιρέσεως ἔγγραφον τοῦ Ρόδου Παϊσίου ἔχει οὕτω, κατὰ τὴν νομικὴν συναγωγὴν τοῦ Δοσιθέου (φ. 213ᵃ). «Ραφαὴλ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ρώμης καὶ οἰκουμενικὸς πατριάρχης — Κατὰ τὴν παροῦσαν συνοδικὴν ἀπόφασιν καὶ διάγνωσιν τὴν γεγενημένην τῷ τότε, ἐπειδὴ ὁ μητροπολίτης Ρόδου Παΐσιος οὐ μόνον ἀπειθὴς ἐφάνη καὶ καταφρονητής, μὴ θελήσας κἂν μέρος τῆς ἀποκοπῆς ταύτης ἀποδοῦναι ἐν τῷ διωρισμένῳ καιρῷ ἢ καὶ μέχρι τῆς δεῦρο, ἀλλὰ καὶ πλεῖστα κατὰ τῆς τῶν ἀρχιερέων συνόδου καὶ τῆς διασκέψεως καὶ διοικήσεως αὐτῶν (ἥτις καλῶς μετὰ τὴν τελευτὴν τοῦ γνησίου πατριάρχου κὺρ Ματθαίου ἡμᾶς εἰς τοῦτο ἀποκατέστησεν) αὐθαδείᾳ χρώμενος καὶ παραλόγῳ ὁρμῇ κατεφλυάρησε καὶ κατηγόρησεν ἐγγράφως, ἐτόλμησε δὲ καὶ χωρὶς γνώμης συνοδικῆς καὶ ἡμετέρας καταλιπεῖν τὴν μητρόπολιν αὐτοῦ ταύτην καὶ ὑπὲρ τὸν ἐξαμηνιαῖον καιρὸν διατρίψας εἰς ἀλλοδαπεῖς πόλεις καὶ χώρας, ὅπερ τοῖς θείοις κανόσιν ἀπηγόρευται, καὶ διὰ ταῦτα πάντα τῇ καθαιρέσει ὑποδικός ἐστιν ὁ αὐτὸς Ρόδου Παΐσιος, τούτου χάριν ἑπόμενοι καὶ ἡμεῖς οἱ νῦν ὄντες καθαιρεθέντες, τῇ ψήφῳ ταύτῃ τῶν ἀρχιερέων, ἀποφαινόμεθα εἶναι καὶ διαμένειν τὸν αὐτὸν Ρόδου Παΐσιον καθηρημένον καὶ γεγυμνωμένον πάσης ἀρχιερατικῆς ἐνεργείας καὶ τάξεως, καὶ ἀντ' αὐτοῦ τοῦ παραβάτου τῶν κανόνων καὶ ὑπευθύνου ἕτερον χειροτονηθῆναι γνήσιον μητροπολίτην εἰς τὴν ἐπαρχίαν ταύτην Ρόδου κανονικῶς· ὅθεν καὶ εἰς τὴν περὶ τούτου δήλωσιν ἐγένετο καὶ τὸ παρὸν ἔγγραφον ἐν ἔτει ζριβ', ἐν μηνὶ δεκεμβρίῳ, ἰνδικτιῶνος 6ᵃⁱ».

λῆς τῆς βασιλικῆς εὔνοιαν, καὶ ἀναγκασθῇ τὰ τῆς Ἐκκλησίας λείψανα τὸ χρέος σύμπαν τοῖς ὑλακτοῦσιν ἀποτινύειν, ἠνάγκασαν ἡμᾶς ἑκόντας ἀποστραφῆναι τὸν βασιλικὸν ὁρισμόν, καὶ μέρος δόντας τοῦ χρέους σὺν εὐμενείᾳ τῶν Ἰουδαίων (ἐκεῖνοι γάρ εἰσιν οἷς τὰ πλεῖστα χρεωστεῖται) καθάπαξ ἀπαλλάξαι σύμπαντος χρέους τὸ τῆς Ἐκκλησίας κοινόν. Ἀλλὰ ταύτησι τῆς οἰκονομίας παρὰ τῶν ἀρχιερέων ἐκείνων, οἳ καὶ ἐβίαζον γενέσθαι καὶ τελειώσειν καθυπέσχοντο, ἀμεληθείσης, ὃ δὴ καὶ ἡμῖν πάρεργον ἀναχωρήσεως γέγονεν· ἦν γὰρ ἐπικείμενος τῇ θεραπείᾳ τῶν κακῶς ἐχόντων ἀθυμότερον ἀντιπραττόντων τῶν εὐεργετουμένων· ἀλλ' ἀμεληθείσης ταυτησὶ τῆς οἰκονομίας παρ' ὧν ἥκιστα ἔδει, παρείσδυσιν νῦν ἔχουσιν οἱ ἀτάσθαλοι ταῖς δῆθεν ἐξαρχίαις κεχηνέναι, καὶ διαφθείρειν τῆς Ἐκκλησίας τοῦ Θεοῦ τὸ λήϊον, πέρα δεινῶν ταλαιπωρούσης ταῖς θλίψεσι, φέρειν δ' ἀνάγκη γενναίως καὶ μὴ ἀποπηδᾶν εὐθὺς τῆς Ἐκκλησίας (ὡς αὐτὸς ᾠήθης) διὰ παραιτήσεως· ἔσται γὰρ σὺν Θεῷ καὶ ἐγγὺς ἔσται συντέλεια τῶν δεινῶν, οὐ γὰρ δυνατὸν ἐπ' ἄπειρον ἐκτείνεσθαι τὰ κακά. Μὴ τοίνυν, μὴ ἀθύμει ταῖς ὠμοτάταις τοῦ ἀπανθρωποτάτου καὶ κακομηχάνου παπΑνδρέου βεβλημένος ἐπηρείαις, μάθε παρ' ἐμοῦ πολλὰ καὶ νῦν πάσχοντος πρὸς τοῦ παρανόμου Λαυρεντίου ἐκπεπολεμηκότος μοι τὸν Ἀντιοχείας Ἰωακείμ, ἀντινομοθετοῦντα τῷ νόμῳ τοῦ Θεοῦ καὶ συναρπάσαντα καὶ τὸν ἁγιώτατον Ἱεροσολύμων Σωφρόνιον· ἐπὶ γὰρ τούτῳ ἐκεῖ παραγέγονεν, ὥστε καὶ τὸν παρανομοῦντα Κύπρου συνοδικῶς καθαιρεθέντα δικαιῶσαι, καὶ τὸν Λαυρέντιον παρανόμως χειροτονηθέντα μάλα ἀσυνέτως ἀθωῶσαι· οἷς ἡμεῖς ὑπὲρ τοῦ δικαίου καὶ τῆς ἀληθείας ἀγωνιζόμενοι, καὶ τῷ θείῳ νόμῳ περιφραττόμενοι, οὐδ' ὅσον ὑπείξαμεν ταῖς ἀκρίτοις κρίσεσι. Φυγὰς οὖν ᾤχετο ὁ Λαυρέντιος σὺν δυσὶ μύσταις, ὑφελόμενος καὶ τὸ παραπεποιημένον κράνος καὶ ἀντίπαλον τῆς ἱερᾶς τοῦ πατριάρχου Ἀλεξανδρείας περικεφαλαίας· ταύτην γὰρ καλύπτραν ἐπενόησεν ὁ ἀνόητος τῆς ἑαυτοῦ παρανομίας· οὐκ οἶδα δὲ εἰ παραχωρήσει καὶ τούτου Θεὸς τοῖς ὁσιωτάτοις πατράσιν, ὥστε τὸν παράνομον ἐπίσκοπον καινοτομῆσαι καὶ περὶ τὰ ἄμφια τὰ ἱερατικά, τὸν καὶ τῶν συνήθων ἀνάξιον. Ἡ δὲ κρίσις τοῦ Ἀντιοχείας πρὸς τὸ κεφάλαιον τοῦ νόμου συγκρουσθεῖσα παρ' ἡμῶν δημοσίᾳ ἀπεδοκιμάσθη. Ἀλλὰ τῶν καθ' ἡμᾶς ταῦτά σοι δεδηλώκαμεν ἐς τοσοῦτον, σὺ δὲ τὸν μέγαν Ἠλίαν, τὸ τοῦ θρόνου τούτου μετόχιον, τελευτήσαντος τοῦ καὶ σχεδὸν ἡμῶν ἀκόντων παρακεκρατηκότος, παρακατάθει τῷ ἱερῷ λογοθέτῃ, χρώμενος συμμάχους εἰς ἐκδίκησιν τοῦ δικαίου τοῖς τιμίοις ἄρχουσιν· ὁ Κύριος μεθ' ὑμῶν.

Ζρζ', Μεταγειτνιῶνος ς' ἱσταμένου. Ἐν Αἰγύπτῳ.

38.

Τῷ ἱερωτάτῳ καὶ λογιωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ κυρίῳ Διονυσίῳ τῷ Ἡρακλείας, προέδρῳ τῶν ὑπερτίμων καὶ ἐξάρχῳ πάσης Θράκης, τῷ ἰσοψύχῳ καὶ περιποθήτῳ, χάριν, ἔλεος καὶ εἰρήνην παρὰ τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τὸν δ' ἐμὸν Ἡρακλείας πῶς προσείπω; παρηκολούθηκάς μοι τῷ κηρύγματι, κεκοινώνηκας τῶν φροντίδων, συμμετέσχες τῶν πόνων ἐκείνων τῶν ὑπερφυῶν, συνήντλησας τῶν κινδύνων τῶν χαλεπῶν, συμπαρωμάρτηκας καὶ χωλεύων, νόσῳ τρυχόμενος καὶ γήρᾳ, συμπαρωμάρτηκάς γ' ὅμως τρέχοντι πολλάκις τὴν ἐπὶ θάνατον, συμπαρῆς μοι παρισταμένῳ τῷ ἀπηνεστάτῳ κριτῇ καὶ ἀπολογουμένῳ περὶ ἀναστάσεως τῆς ὅλης ἀρχῆς καὶ ἀνδραποδισμοῦ· ἔγνω γὰρ ἐκφοβῆσαι Μελέτιον, ἵνα τῶν ἓξ χιλιάδων τῶν χρυσῶν νομισμάτων ὁ Ἰουδαῖος, ὁ συμμύστης αὐτοῦ (ὃς καὶ μετ' οὐ πολὺ δυσθανατοῦντι τῷ τότε φοβερῷ μικροῦ συναπέλαυε τῆς ἀγχόνης), τύχῃ παρ' ἐμοῦ ὧν ὤφειλεν ὁ Καρύκης. Τίς ἐξείποι τὰς ἡμερινὰς καὶ νυκτερινὰς ὀδύνας, τὴν στενοχωρίαν, τὰς θλίψεις, τοὺς πειρασμούς, τοὺς τῶν ἔξω, τοὺς τῶν ἡμετέρων, τοὺς καὶ δεινοτέρους σχεδὸν καὶ χαλεπώτερον ἐκπυροῦντας; Οὐκ ἀμνημονεῖς (οἶμαι) ὅταν τοῦ δείπνου ἀναχωρήσας κατὰ μόνας σοι ἐδήλουν τὰ τοῦ θανάτου μηνύματα, τὴν τῶν Ἰουδαίων ἐπιβουλὴν (ἵνα παρὰ τοῖς ταλαιπώροις χρηματολογήσωνται)· μονῶσι γὰρ αὐτοὺς τῆς ἐμῆς βοηθείας τε καὶ βουλῆς (εἰ καὶ μὴ πάντες), ἵνα ἐμπαίζωσιν αὐτοῖς ὡς νηπίοις τὰς φρένας. Οἶδας (φημὶ) ὡς ἡδέως ἡτοιμάσθην εἰς θάνατον, ὡς ἐξωμολογήθην τὰ κατὰ πάντα μοι τὸν βίον πεπραγμένα, ὡς ἥδιστα ἀπέθανον τὸ κατ' ἐμὲ ὑπεραγωνιζόμενος τῆς Ἐκκλησίας, ἵνα μὴ παρανόμως πράξωμέν τι, ἵνα κόψωμεν τὰς ἀθέσμους τῶν τινῶν ὁρμάς, ἵνα τὸ χρέος τὸ ἄπειρον τὸ μὲν ἀπορρίψωμεν δικαίως, τὸ δὲ καὶ ἀποτίσωμεν εὐγνωμόνως, ἅπερ οἱ γενναῖοι τῇ μητρὶ ὡς πολυτάλαντον φόρτον ἐπέθηκαν, ἵνα ἀνακαλέσωμεν θεσμοὺς πατρῴους, ἵνα ἀναστήσωμεν τὰ ἀμυδρὰ λείψανα τῆς ἐκκλησίας, καὶ θεμελιώσωμεν πατριαρχεῖον, καὶ ἄξιον καταστήσωμεν πατριάρχην· ὧν ἁπάντων τὰ μὲν κατορθῶσαι Θεοῦ δεδυνήμεθα συνάραντος, τούτου δ' ἀπετύχομεν πάνυ ἀθλίως, μὴ καταστήσαντές σου τὴν τελειότητα, ὡς ἠλπίζομεν, καίπερ οὐδὲν συνειδυῖαν, οὐδὲ θέλουσαν ἴσως. Ἀλλὰ σύ μοι παρηκολούθηκας ἄλλος ἀκάτῃ, φέρουσι δ' οἶμαι καὶ λύπης αἱ ἀναμνήσεις μικράν τινα παραμυθίαν μετὰ τοὺς κινδύνους καὶ μόχθους, ἐξ ὧν αἱ λύπαι· ὡς οὐ καταλιμπάνει τὸ θεῖον τοὺς ἰδίους εἰς τέλος, ὡς νικῶμεν νικώμενοι, ὡς ἡδόμεθα θλιβόμενοι, ὡς θανατούμενοι ζωούμεθα. Ἀλλὰ χαῖρέ μοι περιπόθητε κεφαλή, καὶ μὴ ἀθύμει πολεμῶν, εἴ γε δεήσει, κοὐκ ἀναιμωτεὶ νικῶν τε καὶ τύπτων, ἀοίδιμον καταλιμπάνων τοῖς εὖ βουλομένοις χρῆσθαι τοῖς πράγμασι καὶ τῇ Ἐκκλησίᾳ πρεπόντως ἀντιπελαργῆσαι ἀρχιερατεύσαντας ἐπαξίως τοῦ Πνεύματος, οὗ ἡ χάρις μεθ' ὑμῶν. Ἐν Ἀλεξάνδρου, Ζρζ'.

39.

Τῷ ἱερωτάτῳ μητροπολίτῃ Φιλαδελφείας κυρίῳ Γαβριήλ, ἐξάρχῳ τοῦ οἰκουμενικοῦ θρόνου, εἰρήνην.

Στενά μοι πανταχόθεν τὰ πράγματα, μόνος καταλέλειμμαι, οὐ συναspίζονται πρὸς τὴν τῆς Ἐκκλησίας Χριστοῦ ἄμυναν οἱ καὶ τὴν ψυχὴν προέσθαι χρεωστοῦντες καὶ ἐπαγγειλάμενοι, ἀλλ' ἢ ψυχροὶ ἢ περὶ τὰ μὴ δέοντα ζέοντες· ἡ δὲ τοῦ Χριστοῦ ποίμνη ἀνεπιμέλητος (τοῦτο γὰρ εἰπεῖν ἄμεινον), ὡς μὴ ἔχουσα ποιμένα τὸ σύνολον. Ἐγράψαμεν πρὸς τὴν σὴν ἱερότητα, ἀπ' Αἰγύπτου εὐθὺς μηνυθέντες παρὰ τῆς Συνόδου καὶ τοῦ λαοῦ σὺν καὶ βασιλικῷ προστάγματι, τοῦτο αὐτὸ μηνύοντες καὶ παρακαλοῦντες εἰ δυνατόν σε τοῦ θρόνου τούτου τοῦ οἰκουμενικοῦ ἀντιλαβέσθαι, εἰ δὲ μήγε τὸν ἱερώτατον Μαργούνιον. Ἦν ἐμὸν τοῦτο φροντίσαι, καὶ ἡμῖν τὸ πᾶν ἐπεκρέματο· ἐβράδυνεν ἡ ἀπόκρισις, παρεισέδυ ὁ ταλαίπωρος Καρύκης, πολλὰ βλάψας καὶ ἑαυτὸν καὶ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ ἐν βραχεῖ, ἀντιλέγοντος ἐμοῦ καὶ παραινοῦντος τὰ δέοντα, πλὴν μὴ παρρησίᾳ πολλῶν ἕνεκα, ὥστε μηδὲ πάμπαν σιωπᾶν μηδὲ καταβοᾶν ἀναιδέστατα. Τοῦτον ἁρπάσασα τοῦ Θεοῦ τοῦ φιλανθρώπου ἡ θεία πρόνοια, πάλιν χηρεύουσαν (καὶ πρότερον καὶ τότε χηρεύουσαν, οὐ γὰρ ἦν ὁ Καρύκης νόμιμος ἀνήρ), τὴν ἐκκλησίαν κατέστησεν. Εἰς ἡμᾶς ἔπεσε πάλιν ὁ κλῆρος, οὐ τῆς Συνόδου μόνης τῶν Ἀρχιερέων καὶ τοῦ λαοῦ ἀλλ' ἤδη καὶ τῆς αὐλῆς τῆς βασιλικῆς καὶ αὐτοῦ τοῦ βασιλέως βιαζομένων. Ὑπεισήλθομεν καὶ τοῦτον τὸν ὄγκον μὴ ἀπελπίζοντες τὴν τῆς σῆς ἱερότητος ἀπόκρισιν· σὸν ἐστιν ἐπιστεῖλαι ὅσον τάχος, εἰ δυνατὸν αὐτόθεν ἐλθεῖν τὸν οἰακήσοντα τὴν ὁλκάδα τοῦ Χριστοῦ. Ἐγὼ γὰρ καὶ ὑπεσχέθην τοῖς ἡμετέροις Ἄραψι τῶν τριῶν πατριαρχείων (καὶ γὰρ ἅπαντα εἰς ἡμᾶς ἀποβλέπουσιν) αὐτοὺς μὴ ἐᾶσαι· παρὰ τούτων ὅσαι ἡμέραι βιαζόμεθα γράμμασι ταχυδρομοῦσι τῶν τῇδε ἀπάραι, καὶ τῶν ἀδυνάτων ἐστὶ (τό γε νῦν ἔχον) ἄλλον ἐκεῖ δυνηθῆναι τὸ ποίμνιον τοῦ Χριστοῦ ἐν μέσῳ ἀσεβῶν καὶ τῶν ἤδη ἡμιορθοδοξούντων Κοπτῶν εὐθύνειν· τοῦτον δὲ τὸν θρόνον δυνατὸν εὐθύνεσθαι παρ' εὐσταθοῦς ἀνδρὸς καὶ φοβουμένου τὸν Κύριον, καὶ οἷον ἂν σοῦ εἴποιμι τὴν ἱερὰν ψυχήν, ἢ τὸν ἱερὸν Μαργούνιον, μάλιστα τῶν πραγμάτων παρ' ἡμῶν (Θεοῦ συνάρσει) ἀποκατασταθέντων εἰς κρείττονά τινα καὶ οὐκ εὐφρόνητον κατάστασιν. Γράψον, συμβούλευσον, συνδράμετε, συμβοηθήσατε· μόνος γὰρ οὐδὲ ἀρκέσαι οἷός τ' εἰμί, οὐδὲ δίκαιον τοὺς ἀδελφοὺς ἐμὲ καταλιπεῖν μόνον· τοῦτο δ' εὖ ἴσθι, ὅτι μόλις δυνάμενοι ἀναπνεῖν, διὰ πολλῶν σοί γ' ὅμως ἐπιστέλλομεν, οὕτω τοῦ πόθου καὶ τῆς ἀνάγκης βιαζομένων. Ἔρρωσο. Ἐν Κ/πόλει, Ζρέ.

40.

Ἀρσενίῳ Ἐλασσῶνος μητροπολίτῃ.

Εὐχαριστοῦμέν σου τῇ φιλοκαλίᾳ, ὅτι τε πρὸς τοὺς ἡμετέρους Νεόφυτόν τε τὸν ἱερομόναχον καὶ Ἰωάσαφ τὸν Ἀναγνώστην δεξιώσεως ἠξίωσας φιλανθρώπου, ξένος ξένους καὶ πεπονθότας τι τῶν ἀβουλήτων, καὶ ὃ παθεῖν οὐκ ἦσαν ἄξιοι πρὸς ἡμῶν σταλέντας, πρὸς εὐσεβεῖς σταλέντας, καὶ ὑπὲρ ὑποθέσεως τοῦ εὐσεβεστάτου βασιλέως, ἔδει δὲ μᾶλλον, εἰ καί τι ἥμαρτον (ἥμαρτον δὲ οὐδέν) συγγνώμης αὐτοὺς τυχεῖν ἐμοῦ γε χάριν. Ἀλλὰ περὶ τούτου φροντιοῦμεν οὕτως ἐκκαῶς, ὥστε με (εἴ γε νεύσει Θεὸς) τούτου γε χάριν εἰς Μοσκόβιαν ἀφικέσθαι, καὶ τὸν ἡμέτερον ἱερομόναχον ἀφελεῖν οὐ μόνον τοῦ μοναστηρίου ἀλλὰ τῆς ἐξορίας· εἰ δὲ ὁ καλὸς Κωνσταντῖνος βούλεται διορθώσασθαι τὴν ὑπόθεσιν ταύτην πρὶν ἐμὲ αὐτόθι παραγενέσθαι, ἔξει παρ' ἡμῶν ἀντὶ ἀγανακτήσεως εὐχαριστίαν. Ἀξιοῦμέν σου τὴν φιλοκαλίαν μὴ ἀμελῆσαι κατὰ τὸ δυνατὸν ὥστε ἐλευθερωθῆναι τὸν ἡμέτερον ἱερομόναχον, ᾧ ἐρχομένῳ παραγγελεῖς, ἵνα φέρῃ μεθ' ἑαυτοῦ σφαλιστάριον ἓν τεχνίτου ἐμπείρου, Σταύρωσιν καὶ Ἀνάστασιν ἔχον τοῦ Σωτῆρος ἡμῶν, καὶ ἕτερον τὰς δώδεκα ἑορτάς, οἷον εἰώθασιν αὐτόθι ποιεῖν ὡς βιβλίου φύλλα εἰς μίαν ἀσφαλιζόμενα θήκην. Ἡμεῖς τῇ ἀπορίᾳ καὶ ταῖς θλί-

ψεσι πιεζόμενοι οὐ δυνάμεθά σου τὴν ἀγάπην ἄλλαις εὐεργεσίαις ἀμείψασθαι (ἀλλ' οὐδὲ δεομένου τινὸς ὑπολαμβάνομεν), εἰ μὴ εὐχαῖς πατρικαῖς καὶ εὐλογίαις· ὁ Κύριος μετὰ σοῦ.

Ἐν Κ/πόλει, ιε' Ἀπριλίου ,ζρε'.

41.

† Ὁ Ἀλεξανδρείας Διονυσίῳ τῷ μητροπολίτῃ Ἡρακλείας χαίρειν.

Ἡ καταγραφὴ παρὰ τὸν οἰκουμενικὸν πεμπτέα· ἐγὼ γὰρ οὐδὲ περὶ τοῦ γάμου ζυγομαχῶ, ὄντος ἀθέσμου, καὶ τὴν τοῦ ἀφορισμοῦ καταφρόνησιν τῆς τοῦ γάμου ἀτοπίας ἀτοπωτέραν καὶ πρώην κέκρικα.

Τὸν ἄνδρα τουτονὶ παρὰ τῆς αὐτοῦ φαύλης ἐπιβουλευθέντα γυναικὸς ἐκκλησιαστικῶς ἐκδικητέον.

Ὁ Μελέτιος.

42.

Συμεῶνι τῷ Ἑλανικῷ.[1]

Συμεῶνι τῷ Συνεσίῳ Ἑλανικῷ, χάριν, ἔλεος, καὶ εἰρήνην, καὶ βιοτὴν ἀγαθὴν παρὰ τοῦ σωτῆρος Χριστοῦ. Ἤσθην ἐγώ σου τοῖς γράμμασιν ἐντυχών, οὐ ταῖς τῶν ἐγκωμίων ὑπερβολαῖς ὡς ἄνθεσί τισιν ἐφηδόμενος, αὗται γὰρ ἐκθειάζουσαι Μελέτιόν τινα τὸν τῆς θύραθεν σοφίας χορευτήν, τὸν τῆς ἡμετέρας θιασώτην, τὰ κατὰ Μελέτιον ὡραίζουσιν, ὧν ἡμεῖς πάμπαν ἄμοιροι· τὴν δὲ τῆς σῆς ἱερᾶς ψυχῆς θεώμενος πρὸς ἡμᾶς διάθεσιν, ἀνδρὸς φίλου καὶ σοφίας οὐκ ἄκρως μυησαμένου χείλεσιν. Ἀλλά σοι νῦν πάρεστι δεῦρο ὡς ἡμᾶς παραγενομένῳ, μεταδοῦναι μὲν τῶν σῶν χαρίτων χρῄζοντι τῷ κόσμῳ καὶ τὴν πόλιν καταπλουτῆσαι αὐχμῶσαν ἤδη· οὐδὲ γὰρ ἐπιεικὲς ὑπομόδιον καίειν τὴν λυχνίαν καὶ κρύπτεσθαι τὴν πόλιν κατὰ τὴν ἔρημον, συνεχομένης τῆς ὑφ' ἥλιον σκότῳ βαθεῖ· ἀπολαῦσαι δὲ τῆς ἡμετέρας ἀγάπης, ἧς ἐπειράθης ἐγῷμαι καὶ ἄλλοτέ ποτε· εἰ δὲ καὶ ἀκανθῶν πεῖραν ληψόμεθα, οὐκ ἀθυμητέον, τῷ Δεσπότῃ σπείροντες τῶν ὅλων, οὗπερ ἡ δύναμις ἐν ταῖς ἡμετέραις ἀσθενείαις τελειοῦται. Σπαρτέον οὖν τὸν λόγον τοῖς τοῦ λόγου μύσταις καὶ μυσταγωγοῖς, καὶ οἰστέον τάς τε τῶν ἀέρων (εἰ τύχοι) βλάβας καὶ τὰς ἀκανθῶν παραφυάδας, ἃς εἴωθε παρασπείρειν τῶν ζιζανίων ὁ σπορεύς, κοὐ διὰ τὰς τῶν ἐναντίων περιπετείας ἡσυχαστέον, ἀνερμάτιστον καταλιπόντας τὴν Ἐκκλησίαν, ἀλλὰ καὶ τῆς τῶν πέλας φροντιστέον σωτηρίας καὶ βελτιώσεως. Μὴ φείδου τοίνυν τῶν τῆς σπορᾶς δακρύων, τὴν τοῦ θερισμοῦ προσδοκῶν ἀγαλλίασιν, μηδὲ κρύπτε ἅπερ ἐπιστεύθης εἰς τόκον τάλαντα, τὴν ἀγανάκτησιν ἐκκλίνων. Ἔρρωσο ἐν Κυρίῳ, περιπόθητε. Αὐγούστου ι', ,ζρε'. Ἐν Κωνσταντινουπόλει.

43.

Γεωργίῳ τῷ λογιωτάτῳ μεγάλῳ Ῥήτορι.

Τεθνάναι σου τὴν σύζυγόν φασιν, οὐκ οἶδα εἰ ἀληθεύουσιν οἱ φάσκοντες· ξένον δ' οὐδέν, εἰ καὶ ξένον δοκεῖ τῶν τοῦ βίου ἀπαλλάττεσθαι τοὺς θνητούς, οἷς ἅπασι τέτακται (φησὶν) ἅπαξ ἀποθανεῖν· ἀλλὰ τὴν τῶν δικαίων ψυχῶν ἀποδημίαν, καὶ εἰς κρείττονα λῆξιν ἀναχώρησιν δίχα βασάνων (οὐ γὰρ ἅπτονται βάσανοι ψυχῶν δικαίων, ἐν χερσὶ τοῦ Θεοῦ κατὰ Σολομῶντα οὐσῶν), δακρύων ποιεῖσθαι ὑπόθεσιν οὐ προσήκει, οἷα τῆς μακαριότητος ἐκείναις βασκαίνοντας αἷς αὐτὰς εἰκὸς εὐμοιρῆσαι, υἱοὺς καὶ θυγατέρας Θεοῦ χρηματίσαντας καὶ τῆς ἐπαγγελίας κληρονόμους. Εἰ οὖν καὶ τὰ προσπίπτοντα ταῖς αἰσθήσεσι λυπεῖ, ἀλλ' αἱ τῶν νοητῶν ἐλπίδες παρηγορείτωσαν· οὐ γὰρ τοσοῦτον οἰμωγῶν ἄξιον τὸ τοῦ παρόντος ἀναχωρῆσαι βίου καὶ τῶν μοχθηρῶν τουτωνὶ ἡμερῶν ὅσον χαρᾶς τὸ ἐπιτυχεῖν τῆς ἀλέκτου ἀθανασίας, ταῖς φαιδροτάταις μαρμαρυγαῖς τοῦ φωτὸς ἐκείνου τοῦ ἀκηράτου ἐντρυφῶντας μετὰ πνευμάτων μέγα κεκτημένων ἐπ' ἀρετῇ ὄνομα· ὧν ἦν ἡ καλὴ τῶν σῶν παίδων μήτηρ, ἣν οὐκ ἀπώλεσας θανοῦσαν ἀλλὰ παρακατέθου ταῖς οὐρανίοις παστάσιν, ἀπολαύσων ποτὲ φαιδροτέραν φαιδρότερος καὶ ἀπολαύσεως τρόπον βροτοῖς ἄγνωστον. Ἦν γὰρ ἦν γνωστόν πως τῶν ἀρρήτων ἐκείνων ἀγαθῶν ἡ ἀπόλαυσίς τε καὶ συναπόλαυσις, τάχα ἂν καὶ βιαίως τὰ τοῦ βίου ῥηγνῦντες δεσμὰ πρὸς ἐκείνων ἠπειγόμεθα τὴν μακαριότητα. Πέμπω σου τῇ λογιότητι ἐπιτάφιόν τι εἰς τὴν ἐμὴν ἀδελφὴν ἐπίγραμμα[1]· πάντως δὲ ἐπιγνώσῃ οὐκ ἄλλως ἐν ταῖς ἀλλοτρίαις ἡμᾶς συμφοραῖς ἢ ἐν ταῖς οἰκείαις φιλοσοφεῖν, μᾶλλον δ' οὐδ' ἀλλοτρίας ἡγεῖσθαι ἡμᾶς τὰς τῶν φίλων περιπετείας. Ἔρρωσο, τέκνον τίμιον, καὶ τοῖς λοιποῖς τῶν ἀδελφῶν νέμε παρ' ἡμῶν εὐχήν.

Ἐν Ἀλεξάνδρου, κα' Ἀνθεστηριῶνος, ,ζρζ'.

44.

Νικηφόρῳ καὶ Διονυσίῳ τοῖς διαφερομένοις Μελέτιος καλούμενος εἰρηνεῦσαι καὶ διαλλάξαι τούτους.

Κελεύετέ με μεσιτεῦσαι μεταξὺ ὑμῶν τε καὶ Νικηφόρου, ἐγὼ δὲ πολλάκις μεσιτεύσας καὶ μηδὲν ἀνύσας τῶν ἀγαθῶν τῆς μεσιτείας ἀπολήγω· λέγειν δ' ἐῶ (πολλάκις γὰρ εἶπον, καὶ ὑμῶν αὐτῶν ἀκουόντων)· παρ' οἷς πίστιν οὐχ εὑρίσκω ἀλλ' ἅπαντ' ἀπιστίας, ἐπιορκίας, μισανθρωπίας μεστά, τούτοις ἐμὲ ἥκιστα πιστεύειν. Ἡμεῖς τῶν θρᾳκικῶν, καὶ ἠθῶν καὶ ἀνδρῶν, ἐμπειρότεροι· διὸ δὴ καὶ τοῖς ἀνδράσι καὶ τοῖς ἤθεσι τοῖς θρᾳκικοῖς, ὡς οἶδατε, βέλτιον ἐφαρμόσθητι.

Ἔρρωσθε ἐν Κυρίῳ.

ΔΙΟΝΥΣΙΟΥ ΗΡΑΚΛΕΙΑΣ

45.

Διονύσιος Ἡρακλείας τῷ πρώην Ῥόδου Παϊσίῳ.

Τὸ σὸν τίμιον κομισάμενος γράμμα, φίλη ψυχή, καὶ τὰ ἐν αὐτῷ ἐγκεχαραγμένα μετὰ σκέψεως διελθών, πῶς δοκεῖς; ἠνιάθην· ἐλογισάμην γὰρ ἄθεσμον εἶναι τοὺς μὲν ἀξίους καὶ δοκίμους τῶν ἀνδρῶν ἀφῃρεῖσθαι τῶν ἀξιωμάτων, τοὺς δὲ τἀναντία τούτων ἔχοντας ταῦτα ἀδεῶς κεκτῆσθαι. Ὅθεν κατὰ τὸν Σοφοκλέα «ἐν τούτῳ γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις, ὅταν τις ἐσθλὸς κἀγαθὸς ἀνὴρ μηδὲν φέρηται τῶν κακιόνων πλέον»· καὶ ἔοικε τὸ τῆς παροιμίας ὀρθῶς ἂν ἐπὶ τοῦ παρόντος εἰρῆσθαι, ὡς ἄνω ποταμῶν χωροῦσι πηγαί. Πλὴν τὴν ἀνάγκην φιλοτιμίαν ποιήσωμεν, ὡς ὁ Γρηγόριος εἰσηγεῖται, ἵνα καὶ τὸν μισθὸν τῶν θλίψεων κομισώμεθα ἐν καιρῷ ἐπισκοπῆς ἡμῶν. Ἐγὼ περὶ τῆς ὑποθέσεως ταύτης συνεγενόμην εἰς λόγους τῷ δεῖνι καὶ ἐδεήθην τὰ δυνατά, κατὰ τὴν σὴν αἴτησιν καὶ τὴν ἐμὴν περὶ σὲ διάθεσιν· οὐ μέντοι προσεχώρησέ γε τὸ πρᾶγμα, ὅτι μὴ εἰς ἀναβολάς· ὑπομεινάτω γάρ, ἔφη, καὶ μετὰ καιρὸν ἐπιτρέψομεν αὐτῷ ἀπολαύειν τῆσδε. Περὶ δὲ τῆς ἑτέρας ὑποθέσεως οὐδὲν ἀπέβη τῆς ὑμετέρας εὐχῆς ἄξιον καὶ ὧν αὐτὸς ἠτησάμην· τῷ γὰρ τῆς ὑποθέσεως, φησίν, ἦν αἰτεῖς, καὶ ἡ ἀπόλαυσις τῆς ἀξίας προσήκει· διὸ δὴ ὅ σοι δοκεῖ βέλτιον αἱρετέον· ἱκανὸς γὰρ ἔσῃ ἐννοῆσαι καὶ τελέσαι τὰ κρείττονα.

ΝΕΟΦΥΤΟΥ ΡΟΔΙΝΟΥ.

46.

Νικηφόρῳ χαρτοφύλακι καὶ ἡγουμένῳ Πάτμου.

Οὐ τῶν μικρῶν καὶ τοῦτο, τὸ πρὸς ἃ ἔλαχεν ἕκαστος ἐπιθυμῆσαι τῶν ἀγαθῶν συνεχῶς ἐπεκτείνεσθαι, τοῖς πρότερον παρεισβαλοῦσιν ἀνιαροῖς ἥκιστα λόγον ποιούμενος· εἰ γὰρ ἐμπόρων παῖδες πλείονα ἑαυτοῖς τὴν τοῦ πλούτου περιουσίαν ποιῆσαι βουλόμενοι θάλατταν γῆς ἀμείβουσι, καὶ σχεδὸν τὸ ἑαυτῶν ζῆν λεπτῷ ἀποθαρρύνουσι μίτῳ, πῶς οὐκ ἂν εἴη τῶν ἀτοπωτάτων οἱ παιδείας τινὸς ἀντιποιούμενοι, εἰ τύχοιεν τούτων ἡττώμενοι, κἄτα τοὺς μὲν ἀποτυχόντας τὰ πρῶτα δεύτερον αὖθις καὶ τρίτον τοῖς ἴσοις ἐπιχειρεῖν, καὶ πάντα ἐν δευτέρῳ τίθεσθαι, πρὸς ἓν μόνον ἀφορῶντες τὸ κέρδος, τοὺς δὲ μηδὲ δεύτερον ἐλέσθαι πλοῦν, εἴ γε τοῦ πρώτου ἐγκρατεῖς οὐκ ἔσοιντο; Οὐδείς ἄλλως πως ἔχων ἡγοῦμαι εἴποι ἄν, εἰμὴ τῶν ἄνοιαν ὀφλισκανόντων ἢ· ἀνθ' ὅτου κἀγὼ πάντα κάλων (ὅ δὴ λέγεται) σείσας, καὶ τοῦ οὗ ἐφιέμην οὐχ οἷός τε ὢν ἐν μετοχῇ γενέσθαι ἐν Ἑλλάδι τῇ ἐμῇ πατρίδι, ἄλλως τε καὶ τοὺς σοὺς πρὸ ὀφθαλμῶν ἀεὶ θέμενος λόγους οὓς μοι πολλάκις ἔφησθα, οὐδὲν προτιμᾶν λέγων τῆς παιδείας, ἀλλὰ πάντων κατατολμᾶν, τῆς εἰς Ἰταλίαν φερούσης ἡψάμην ὅλῃ ψυχῇ καὶ τοῦ ἐν Ῥώμῃ καθ' ἡμᾶς ἱεροῦ Φροντιστηρίου ἐγκρατὴς (ὡς καὶ αὐτός με ἐνουθέτεις) ἐγενόμην. Ὁπόσοις δὲ δυσχερέσι καθ' ὁδὸν ἐνέτυχον, νῦν μὲν πειραταῖς κατὰ θάλατταν, νῦν δὲ κλύδωσιν ὑποβρυχίους ἡμᾶς ποιῆσαι ἐπαπειλοῦσιν, ἀσθενείαις ἄλλοτε καὶ τοῖς τούτων παραπλησίοις, περιττὸν ἂν ἦν μοι διεξέρχεσθαι· ἅπερ δή, καὶ περ οὕτως ὄντα δεινά, τὴν ἔφεσιν ἣν οἶσθά με ἔχοντα εἰς τοὺς λόγους, παρασαλεῦσαι οὐκ ἴσχυσαν. Εἰ γάρ τῷ ἔρωτι πάντα βάσιμα, τὸν τοιῷδε ἔρωτι κατεχόμενον οὐκ ἄλλως ἔδει ποιεῖν, κἂν ἡ Σκυθικὴ χιὼν ἐμποδὼν τυγχάνειε· πέπεικε γάρ με Γρηγόριος, τοῦ

---

1) Ὁ Ζαβίρας λέγει σ. 526· «Συνέσιος ὁ ἐλλόγιμος, ὁ Ἑλλανικὸς ὑπογραφόμενος ἐν τοῖς συγγράμμασιν αὐτοῦ, ἤκμαζε κατὰ τὸ 1670 (γρ. 1570) ἔτος, ὡς ἐκ τῶν ποιημάτων αὐτοῦ δῆλον γίνεται· ἐκ ποίας οὖτος πατρίδος ἦν καὶ ποῦ ἐμαθήτευσεν ἄδηλον ἡμῖν· ὅτι δὲ εὐδόκιμος ἦν ποιητὴς καὶ δεινὸς ἐν ἐπιγράμμασιν, τὰ ὑπ' αὐτοῦ στιχουργηθέντα ἡρωελεγεῖα καὶ ἰαμβεῖα καὶ ἕτερα μαρτυροῦσιν, ἅτινα σώζονται ἐν τῇ βιβλιοθήκῃ τοῦ λογοθέτου τῆς Ἀδριανουπόλεως κυρίου Ἀθανασίου Ἀμηρᾶ». Ἐν Lamii Delie. erudit., 1744, σ. 28 κατεχωρίσθη ἐπιστολὴ τοῦ Ἑλλανικοῦ πρὸς Γαβριὴλ τὸν Σεβῆρον, γραφεῖσα «ἐκ τοῦ Μοσχολουρίου τῆς Ἑλλάδος». Ὁ κ. Σάθας (σ. 410) ἀγνοεῖ τὴν ἐπιστολὴν ταύτην, παραδεξάμενος δὲ τὴν ἐκ γραφικοῦ σφάλματος τοῦ Ζαβίρα χρονολογίαν 1670 κατέταξε τὸν Ἑλλανικὸν ἐν τοῖς λογίοις ἀνδράσι τοῦ ιζ' αἰῶνος.

1) Τὸ ἐπιτάφιον τοῦτο ἴδε ἐν Δελτίῳ ἱστορ. καὶ ἐθνολογ. ἑταιρίας, τ. Α', σ. 63. Εὑρηται καὶ ἐν φ. 89ˣ τοῦ παρ' ἡμῖν κώδικος.

ἀκουσίου τερπνοῦ τὸ ἑκούσιον λυπηρὸν τιμιώτερον εἶναι λέγων. Τοιγάρτοι τοῖς συμβεβηκόσιν ἀνιαροῖς οὐδόλως προσεῖχον, τοῦ οὗ ἕνεκα ταῦθ' ὑποφέρω μόνον ἐπιτυχεῖν δεόμενος· οὗ περ δὴ ἐν ἀπολαύσει τυγχάνω, εὐδοκίᾳ τοῦ παντεπισκόπου ὄμματος. Εὐδαιμόνει.

Μεταγειτνιῶνος δ' ἐπὶ δέκα.

47.

Γεωργίῳ Χίῳ τῷ Κορέσῃ.

Κρεῖττον γράμματος ὄψις ὅσῳ περ μέλος ὑπάρχει τοῦ χοροῦ τῶν αἰσθήσεων καὶ μελῶν τὸ τιμιώτατον, πλὴν καὶ ὁ τῶν γραμμάτων τρόπος, καὶ τὸ ἀποῦσιν ἀπόντα τὸν φίλον διαλέγεσθαι, οὐκ εἰς κενὸν τοῖς πρὸ ἡμῶν σοφίᾳ ἐπακμάσασιν ἐπινενόηται δεύτερος οὗτος λιμήν· ὁ τρόπος· ἃ γὰρ διὰ τὴν ἀπουσίαν ἐκώλυσε φύσις, ταῦτα διὰ γραμμάτων ἐμηχανήσατο τέχνη, κἀντεῦθεν πρὸς φίλον ὁ φίλος τῷ ἐντυγχάνειν καὶ λίαν ἀπὼν τοῦ παρόντος μικρόν τι ἢ καὶ οὐδὲν διενήνοχε. Κἀγὼ γοῦν σου τῇ λογιότητι διὰ τῆς καλλίστης τῶν αἰσθήσεων ἐντυχεῖν προθυμούμενος, ἀρετῶν τε σῶν, ὧν οὐχ ὅτι ἐν Ἑλλάδι καὶ πατρίδι τῇ σῇ παρὰ τῶν τῷ σῷ προσηκόντων γένει καὶ μή, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ Ἰταλίᾳ αὐτήκοος ἐγενόμην, κατατρυφῆσαι γλιχόμενος ἥκιστα τῷ πόθῳ ὑπουργοῦσαν εἶχον τὴν δύναμιν, τῆς τύχης διασχιζούσης τὰ σώματα· ἀνθ' ὅτου ἐνδομυχοῦντα εἶχον ὁσημέραι τὸν ἔρωτα, καὶ μέσον ποθὲν φανῆναι ᾧ τούτου περιγενέσθαι μοι γένηται τὸ θεῖον ἱκέτευον. Οὐκ ἀφῆκε δ' ὅμως εἰς τέλος ἡ τὰ πάντ' ἐφορῶσα Πρόνοια τῷ ἔρωτι κατατρύχεσθαι, ἀλλὰ καὶ πόρον εὗρεν οἷον οὐδέποτε προσεδόκησα (τὸ γὰρ ἐν ἀπορίᾳ πόρων εὑρίσκειν πόρον ταύτης μόνον ἴδιον οἴδαμεν)· Ἀντώνιος γὰρ ὁ σοί τε κἀμοὶ εἰς ἄκραν ἐξηρτημένος φιλίαν, ὡσανεὶ μηδὲν ἄλλο ἀνὰ στόμα δυνάμενος ἔχειν ἢ τὰ κατὰ σὲ διεξέρχεσθαι καὶ τοῖς πᾶσι δηλοποιεῖν, ἐγκωμίων τῶν σῶν οἷά τις στρατηγὸς Ἰθακήσιος τὰς τῶν ἡρώων ἀριστείας τοῖς Φαίαξι διηγούμενος εὖ ποιῶν, ὑπερπεπλήρωκέ μου τὰ ὦτα, καὶ τολμηρόν πως ἀπέφηνε, καὶ μὴν καὶ γράμματά σοι ἐπιστεῖλαι παρώτρυνεν· ὅπερ ἔπραξα ἡδέως, ζημίαν ἡγούμενος τὸ μόνος τῶν ἄλλων ἀνδρὸς τοιούτου ἀγνοίᾳ κατέχεσθαι. Εἰ γὰρ Ἐπαμινώνδας ἐκεῖνος οὐδὲν ἥδιον φίλων εἰδώς, ὡς ἂν μὴ ἡ ἡμέρα ἄφιλος αὐτῷ παρέλθῃ, τὸν τυχόντα προσεποιεῖτο, ἀποτυγχάνων δὲ λίαν ἐδυσχέραινε τὴν τοιαύτην φιλίαν κτήσασθαι προθυμούμενον οἵαν σου τὴν τρισολβίαν ἀκούω ψυχήν, πῶς οἷει προσήκειν ἥδεσθαι, ἁμαρτάνοντα δὲ τοὔμπαλιν τῇ λύπῃ διαρκεῖν; Οὐκ ἄλλως φαίη τις ἄν, εἰ μὴ τῶν τοιοῦτον ἀγαθὸν ἀγνοούντων εἴη. Τοιγάρτοι ταυτὶ πρὸς σὲ ἐγχαράξαι διενοήθην οὐκ ἐπιδείξεως χάριν (οὐ γὰρ τῶν τοιούτων ἡμεῖς) ἀλλ' ἵνα μή με (φησὶ Λιβάνιος) καλὸς κἀγαθὸς ἀνὴρ διαφύγῃ, ὃν φιλῶ μὲν οὔπω εἰδώς, καὶ φιλῶν, γράμμασι σταθερωτέραν τὴν φιλίαν παρασκευάσασθαι διανοοῦμαι· γένοιτο δ' ἂν τοῦτο, εἰ παρ' ἐμοῦ τῆς ἀρχῆς γεγενημένης, παρὰ σοῦ ἡ ἀκολούθησις γένηται. Ἔρρωσο.

Ἑκατομβαιῶνος ζ' ἱσταμένου, ᾱχη', ἐνΡώμῃ.

48.

Φραγκίσκῳ Κόκκῳ.[1]

Ἐγὼ μὲν εὖ εἰδὼς τῇ ὁποιᾳδήποτε καλοκἀγαθίᾳ παρὰ πόδας προσήκειν ἕπεσθαι τὴν ἀμοιβὴν ὡς ἀπαραιτήτου ὀφλήματος, πρὶν ἢ τὴν εἰς τὸ Φροντιστήριόν με ποιήσασθαι εἴσοδον, οὐκ ἄλλου του ἡψάμην ἢ γράμματα πρὸς σὲ ἐπιστεῖλαι, ἀνδρῶν ἄριστε καὶ σοφώτατε, μοναχῶν τινων ὡς ὑμᾶς ἀφικνουμένων· ἀλλ' ὡς ἔνεστιν ὁρᾶν οὔπω ταῦτα ἔλαβες· καὶ γὰρ ἐγὼ πολλάκις κατ' ἐμαυτὸν διενοούμην καὶ ἐν αἰτίᾳ ἐποιοῦν τὴν τύχην ἐμποδών μοι γεγονυῖαν γράμματος ἐπιτυχεῖν ὑμετέρου. Τὸ δ' ἄρα ἦν οὐχ οὕτω· νῦν δὲ τούτου τυχών, τῶν τε ἐμῶν ἐρῶντά σε ἐγνωκὼς ἥσθην οὐ μετρίως· τεκμήριον γὰρ τοῦτο τῆς εὐνοίας, ἣν πρὸς ἐμὲ ἔχων διατελεῖς, πόρρω καὶ ταῦτα ὤν. Οἶσθα γοῦν, ἀνδρῶν ἐμοὶ σοφώτατε, ὡς οὔπερ πρόξενός μοι ἐν Βυζαντίῳ διατρίβοντι ἠρετίσω γενέσθαι, ἐν ἀπολαύσει τό γε νῦν ἔχον εἰμί, τῆς φίλης σου ἐπιστολῆς πρὸς ταῖς φθασάσαις ὄνησιν οὐκ ὀλίγην μοι πορισάσης.

ΛΑΥΡΕΝΤΙΟΥ ΤΟΥ ΚΑΒΒΑΚΟΥ[2]

49.

Λαυρέντιος ἱερομόναχος ὁ Καββάκος τῷ σοφωτάτῳ διδασκάλῳ καὶ ἀκέστορι Γεωργίῳ Κορεσίῳ.

Μέγα τι καὶ ὑπέρογκον Κροῖσος ἐφρόνει, τῇ

1) Ἐν σελ. 58 γράφω περί τινων ἐγγράφων τοῦ Νεοφύτου Β' ἀναφερομένων εἰς σταυροπηγιακὴν ἐκκλησίαν ἐν Νάξῳ. Μετὰ τὴν τύπωσιν ἔσχον τὴν εὐκαιρίαν νὰ ἐξετάσω τὴν χειρόγραφον νομικὴν συναγωγὴν τοῦ Δοσιθέου, ἐν ᾗ (φ. 238ᵃ) εὗρον τὰ ἐγγραφα ταῦτα, ἀναγνοὺς δὲ ἐπείσθην ὅτι οὐδεμίαν σχέσιν ἔχουσι πρὸς τὴν τοῦ Κόκκου οἰκογένειαν.

2) Ὀρθῶς ὑπώπτευσα ἐν σελ. 59, ὅτι ὁ Λαυρέντιος Καββάκος ἦν Χῖος, διότι εὗρον βραδύτερον καὶ

τῶν ἔξω εὑροίᾳ τοὺς πολλοὺς ὑπεράρας, ὡς λέλεκται, καὶ Βάττος αὐτὸς τῇ σιλφίου κτήσει ἐπὶ πολὺ σοβαρῶς ἐνηβρύνετο· ἐγὼ δ' ἐπὶ τούτοις μεγάλα κοχλάζω, ὡς ἐν ἐπικήροις καὶ ἀπίστοις τὸ σύνολον τοῖς τῆς εὐδαιμονίας ἀπειληφόσιν ἀξίωσιν. Τί γὰρ τῶν τῆς ψυχῆς ἡμῖν ἀπιστότερον; τί τῶν ταχὺ φθειρομένων ὡς χόρτος; τί ἕωλον; οὐδὲν ἀντικρὺ ἀληθείας οὐδέν, ὡς πᾶσι κατάδηλον. Ἀλλ' ἐμοὶ μὲν μακαριότητος ἄκρον ἡ ἐν φιλίᾳ τῶν τῆς ἀρετῆς τροφίμων οἰκείωσις, δυστυχίας δὲ πάλιν ἡ πρὸς τούτους ἀνοικειότης τὸ ἔσχατον κέκριται. Ἐπεὶ δὲ καί σε ὑπέρ τιν' ἄλλον τοιοῦτον ἡ φήμη μαντεύεται, καὶ τῆς σῆς ἐναρέτου ψυχῆς δι' οἰκειώσεως ἔναγχος ἔλαχον, οἷα καὶ διὰ ζώσης φωνῆς σου τεκμαίρομαι, βρενθύειν δέον ἐμὲ καὶ ἄγαν σεμνύνεσθαι, ὡς αὐτόχρημ' ἀπαραβλήτοις μέτροις ἀναδειχθέντος ἡμῖν ὀλβιώτερον καὶ εἰς αὐτὸν εὐδαιμονίας ἑλληλακότος βαθμὸν τὸν ἀκρότατον· σφὲ γὰρ ἀπαγέσι τὰς ὑπεροχὰς ἐπεδώκατον, ἐγὼ δ' ἐν τοσούτῳ μονίμοις ὥστ' οὐδ' αὐτὸς ὁ πανδαμάτωρ αἰὼν μηδοτιοῦν τῇ φθορᾷ παρκπέμψαι ἰσχύσειεν. Ἀλλ' οὐκ ἐμοί γε μόνῳ ταὐτὸ πρὸς εὐδαιμονίαν αὐτάρκη νομίζεται, ἐπεὶ ταυτησὶ πρὸ πολλοῦ εἶχε τῆς δόξης χ' ὁ τῶν Μακεδόνων ἄναξ καὶ ἀψευδοῦς μαρτυρίας ψῆφον παρέχει μοι· ὃς δὴ τῶν πολυτελῶν λίθων καὶ διαυγῶν μαργάρων, οὓς Ἰνδῶν καὶ Ἀράβων ἄρουραι τρέφουσι, προηγεῖτο τοὺς φίλους καὶ αὐτοὺς ἑαυτῷ ἀνεκάλει κειμήλια. Τούτου χάριν ὀφείλω εἰδέναι τῇ τὰ καθ' ἡμᾶς ἰθυνούσῃ Προνοίᾳ τὰς χάριτας· φιλοφρονουμένη γὰρ ἀγαθά μοι τοιαῦτ' ἐμνηστεύσατο· σὺ δὲ διασώζοις ἐναῦον, ὦ ἀρετῆς κορυφή, τὸ τοῦ φίλτρου θερμὸν καὶ διάπυρον, ἵνα μὴ τηλικαύτης ἐντελοῦς εὐπραγίας ἐκπέσοιμι· ὃ διαρρήδην τρανώσειεν, εἴπερ ἔσθ' ὅτε ἡμᾶς τῶν ἡδέων γραμμάτων τῆς καλῆς σου καὶ λαμπρᾶς ἀξιοῖς διαθέσεως· ξύμβολα γὰρ ταυταὶ τῶν ψυχικῶν παθημάτων οἱ ἐν λόγοις κομψοὶ προηγόρευσαν. Πλήν, πρὸς Θεοῦ, τὴν γραφίδα μὴ ἔσο μηδαμῶς ἀπονεύειν εἰς νέωτα, ἀλλ' εὐθὺ νῦν μὲν τοῦ φιλικοῦ, νῦν δὲ τοῦ προτρεπτικοῦ χαρακτῆρος χωρεῖν αὐτὴν κατανάγκαζε· πρὸς ἀνδρῶν γὰρ δικαίων ἐξ ὧν αὐτὸς ἀπονέμειν τὰ οἰκεῖα μόνα ἑκάστῳ, καὶ μηδαμῶς συγχωρεῖν ταῖς εὐνοίαις δεκάζειν· δειναὶ γάρ εἰσι, καὶ ὠθεῖν τὴν τρυτάνην βίᾳ εἰώθασιν. Ἔρρωσο

συγγραφὰς αὐτοῦ ἐν τῷ μετοχίῳ τοῦ παναγίου τάφου, ὑπ' ἀριθ. 296, ἃς τινας ὁ τῆς βιβλιοθήκης τούτου κατάλογος ἐπιγράφει ὧδε· «Διδαχαὶ αὐτόγραφοι Λαυρεντίου ἱερομονάχου Καββάκου Χίου (1660—1709) συνταχθεῖσαι καὶ (ἴσως) ἐκφωνηθεῖσαι ἐν Γαλατᾷ, ἐν τῷ ναῷ τοῦ Σωτῆρος Χριστοῦ τῶν Μποστανίων, ὡς σημειοῦται ἐν φύλλῳ 219,45 τὸν ἀριθμόν. Εἰς 4ον». Ἄλλοτε θὰ περιγράψω λεπτομερῶς τὸ τεῦχος τοῦτο.

50.

Ὁ αὐτὸς τῷ αὐτῷ.

Ὑποβέβηκε μὲν ἀναντιρρήτως τοῖς τῆς ψυχῆς τὰ τοῦ σώματος, ὑπερβέβηκε δὲ ψυχῆς ἀγαθῶν ἁπάντων ἡ σοφία ὧν ἐπὶ γῆς τετίμηται ἄνθρωπος· δι' αὐτῆς γὰρ οὐχ ὅπως ὄρεξις λόγῳ παιδαγωγουμένη πρὸς τὴν τοῦ καλοῦ χειραγωγεῖσθαι δίωξιν καὶ ἐπίτευξιν, ἀλλὰ καὶ νοῦς τῶν ἱερῶν τῆς ἀληθείας ὀργίων μύστης τε καὶ αὐτόπτης γενόμενος, καὶ τῷ πρώτῳ ἐκείνῳ τῶν νοητῶν διὰ τῆς θεωρίας συνών, μονονουχὶ ταῖς ἀΰλοις καὶ νοηταῖς συγκορυβαντιᾷ φύσεσιν. Ἦν ὅτε παρ' Ἕλλησι τὰ φιλοσοφίας συνεβασίλευε καὶ τὰ τῆς βασιλείας συνεφιλοσόφει, νῦν δ' οὐκ οἶδ' ὅπως ἔρρει σὺν τῇ τύχῃ καὶ τὰ τῆς παιδείας, καὶ ἀπεσκληκότως ἔχει πρὸς πᾶν εἶδος ἀρετῆς τὰ ἡμέτερα. Θείᾳ δ' αἴσῃ Ἑλλαδικῶν προτερημάτων ἐκμαγεῖον Κορέσιος γέγονεν, οὗ αὐτόθι παραγενόμενος πᾶς τις ὁ ἐν λόγοις φιλόπονος, φιλοπονίᾳ τε καὶ εὐφυΐᾳ φιλοσοφικῇ καταγινόμενος, ἀπάσης θεωρίας ἐπήβολος γίνεται, ἐπανιὼν δὲ αὐτόθεν τῶν ἐν ἀρετῇ ἀγώνων ἐπιφέρει τὰ ἔπαθλα. Ζῆθι τοίνυν, Κορέσιε, εἰς πολλὰς περιόδους ἐνιαυτῶν, ἐκ τῆς ἑβδομάδος τῶν δεκάδων διαπερῶν πρὸς τὴν ὀγδοάτην, ἐννάτην τε, καὶ δεκάτην, καθὼς περ τὸ ζῆθι διάκειται· οὕτω γὰρ καὶ τῶν μαθητιώντων ἔσῃ χειραγωγός, καὶ παντὸς τοῦ Ἑλληνικοῦ γένους ἐγκώμιον, μᾶλλον δὲ τῆς καθολικῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας προστάτης θερμότατος, ἀποσοβῶν καὶ ἐμφράττων τὰς καθ' ἡμῶν τῶν εὐσεβῶν ἀναπετασθείσας πύλας τοῦ Ἅδου, ἃς ὁ Κύριος μέχρι τοῦδε διὰ τῆς σῆς εὐκελάδου σοφίας κατήσχυνεν. Ἡμᾶς δὲ ἐν τῇ τῶν σῶν χαρίτων χορείᾳ διάσωζε, καὶ τὸ ἐν ἡμῖν ἀτελὲς ἐν τῇ τοῦ σοφωτάτου σου νοὸς τελειότητι ἔχων διὰ μνήμης τελείου (τὸ γὰρ δεκτικὸν κατὰ τὸν τρόπον τοῦ εἶναι τὸ ἀντικείμενον δέχεται), καὶ μὴ τῶν σῶν μελισταγῶν ῥημάτων ἡμᾶς ἀποστέρει ἐνίοτε.

Ἔρρωσο.

ΓΩΡΓΙΟΥ ΜΟΣΧΕΤΙΟΥ;

51.

[Ἀνωνύμου] Ματθαίῳ τῷ σοφωτάτῳ καὶ λογιωτάτῳ ἐν Κυρίῳ εὖ πράττειν.

Σιγᾶν μετὰ λόγου, ἢ εὐκαίρως λέγειν, πό-

τερον κρεῖττον καὶ παρὰ σοὶ κρινέσθω· ἐγὼ δ' εὖ οἶδα, ὅτι σιγήσαντι εὐκαίρως, μετὰ λόγου νῦν εὔκαιρον. Ἔστι δὲ τὸ τοῦ λόγου ἀσπάσασθαί σου τὴν ἱερὰν ψυχήν, ἐπευξάμενον μέν σοι παρὰ τοῦ Σωτῆρος τἀγαθά, παραινοῦντα δέ σου τὴν σπουδήν (εἰ καὶ σπουδὴ δεῖται παραινέσεως) ἐπὶ τοὺς τῆς φιλοσοφίας καμάτους, οὐκ ἀγνοοῦσαν μονωτάτην εἶναι τὴν τὸν μικρὸν σπινθῆρα τῆς ἑλληνικῆς παιδείας ἀναζωπυροῦσαν παρ' Ἕλλησι. Τοῦτο δέ σοι προσλαλήσας εὐκαίρως (οἶμαι) τὸν λόγον σὺν λόγῳ καταπαύσω. Ἐρρώσθω σου ἡ φίλη κεφαλή.

ΠΑΪΣΙΟΥ ΛΙΓΑΡΕΙΔΟΥ

52.

Χαῖρε γαληνότατε, καὶ θεοσεβέστατε μονοκράτορ ἐν Χριστῷ τῷ Κυρίῳ ἡμῶν.

Φασί τινες τὴν ἀποσταλθεῖσάν μοι συγχώρησιν παρὰ τοῦ μακαριωτάτου πατριάρχου τῶν Ἱεροσολύμων κὺρ Δοσιθέου ἄκυρον διατελεῖν, καθότι αὐτὸς ἔγωγε καθῃρέθην ἀπὸ τοῦ κὺρ Νεκταρίου, ἥκιστα δὲ ὑπὸ τοῦ Δοσιθέου. Ἕκαστος δὲ ὀφείλει πρὸς ἐκείνου καρποῦσθαι τὴν ἄφεσιν, ἀφ' οὗ περ καὶ τὴν δεσμητικὴν ἔλαχεν ἐπιτιμίαν· πλήν γε μὴν τὸ τοιοῦτον οὐκ ἀληθεύει διηνεκῶς, καθά περ ἔνι μαθεῖν ἀπὸ διαφόρων παραδειγμάτων, καὶ μαρτυριῶν οὐκ ὀλίγων ἐν τῷ Νομοκάνονι ἀπηριθμημένων· καὶ ἵνα μὴ λέγω τὰς περιτεθρυλλημένας κατηγορίας καὶ καθαιρέσεις κατὰ τοῦ πάνυ Ἀθανασίου ἐξυφασμένας κἀν τῇ ἐν Τύρῳ Συνόδῳ δεδημοσιευμένας, ὡς ἱστὸν ὅμως ἀράχνης διαλυθείσας ὕστερον ἀπὸ τοῦ Ρώμης Ἰουλίου καὶ διασκευασθείσας διὰ συγχωρήσεως.

Ἔτι δὲ ὅπως παραδράμω τὴν ἄφεσιν τοῦ Ἀγκύρας Μαρκέλου ὀρθοδόξου τέως ὀρθέντος· οὗτος μὲν γὰρ ὑπὸ τῶν συνηγμένων ἐν Κωνσταντινουπόλει θείων Πατέρων, ὡς δῆθεν αἱρετικὸς καθῃρέθη κἀκ τοῦ ἰδίου θρόνου ἐξώσθη, καὶ ὅμως μετέπειτα οἱ τῆς Σαρδικῆς εὐαγεῖς Πατέρες αὐτὸν συνεχώρησαν καὶ εἰς τὴν προτέραν αὐτὸν καθέδραν ἀποκατέστησαν.

Οὐ μὴν δὲ ἀλλὰ καὶ Θεοδώρητος ὁ σὺν τῷ πατριάρχῃ τῶν Ἀντιοχέων Ἰωάννῃ ἐν τῇ τρίτῃ Συνόδῳ κατὰ τοῦ θειοτάτου Κυρίλλου ἐκτραχηλίσας, καὶ τῇ καθαιρέσει παραδοθείς, διὰ τὸ μὴ βουληθῆναι καθυπογράψαι τῇ καθαιρέσει τοῦ Νεστορίου, ἐν τῇ οἰκουμενικῇ τετάρτῃ Συνόδῳ ἐστέρχθη τοῖς τοῦ πάπα Λέοντος γράμμασιν ὠχυρωμένος, καὶ τοῖς λοιποῖς συγκατηριθμήθη.

Ἦ μὴν ἔγνωμεν καὶ Μακάριον τὸν Ἀντιοχέων πατριάρχην κατεγνωσμένον ὄντα ὑπὸ τοῦ Βενεδίκτου πάπα συγχωρηθῆναι, εἴπου γε ἀπὸ τῆς ἐπαράτου ἐπίπαν κακοδοξίας ἀπομακρυνθῇ καὶ τῇ ἀληθεῖ εὐσεβείᾳ προστεθῇ.

Ἄρειος δὲ κἀκεῖνος ὁ καθαιρεθεὶς παρὰ τοῦ ἱερομάρτυρος Πέτρου καὶ δι' ἀποκαλύψεως ἔτι τεταγμένος τοῖς ἱεροδιακόνοις, συνεχωρήθη ὅμως παρὰ τοῦ διαδόχου αὐτοῦ Ἀχιλλᾶ, ὑποκρινάμενος τὴν μετάνοιαν, εἰ δήπουθεν πρωτοπαπᾶς χειροτονηθείς, καὶ τὸ διδασκαλεῖον τῆς Ἀλεξανδρέων ἐνεπιστεύθη τὸ σύνολον.

Ἀλλὰ καὶ τὸν δυστυχῆ Εὐτυχέα τὸν καθαιρεθέντα παρὰ τοῦ παναγιωτάτου Φλαβιανοῦ, οἱ τρεῖς ἄλλοι πατριάρχαι ἀμέλει τοι, ὁ Ἀλεξανδρείας, ὁ Ἀντιοχείας καὶ ὁ Ἱεροσολύμων, προσηνῶς ἀπεδέξαντο.

Ἰωάννης δὲ ὁ χρυσοῦς τὴν καρδίαν μᾶλλον ἢ τὴν γλῶτταν Χρυσόστομος, ὃν ἐκάθηρεν ὁ Ἀλεξανδρείας Θεόφιλος τῇ βασιλίσσῃ χαριζόμενος Εὐδοξίᾳ, ὅτῳ συναινῶν καὶ ὁ τούτου ἀνεψιὸς καὶ διάδοχος Κύριλλος ἐν τοῖς διπτύχοις τὴν τοῦ Χρυσοστόμου μνείαν ποιήσασθαι οὐκ ἠβούλετο, ἀλλ' ἐκραύγαζεν, εἴ γε Ἰωάννης ἐν πατριάρχαις καὶ ὁ Ἰούδας ἐν τοῖς Ἀποστόλοις, ἡγίασται καὶ παρὰ πάντων τῶν ἄλλων ἱεραρχῶν ἀνύμνηται, καὶ μέχρι τῆς σήμερον εὐλογεῖται καὶ δεύτερος πρόδρομος Ἰωάννης καὶ θεολόγος Ἰωάννης ἀνακηρύττεται.

Τὸν Μελιτινῆς δὲ Πέτρον ὁ πανίερος Μεθόδιος ἐκάθηρε δι' εὐλόγους αἰτίας, πλήν γε μετὰ ταῦτα ὁ τρίσοφος πατριάρχης Φώτιος τοῦτον ἐδικαίωσεν ἀθῳώσας, καὶ Σάρδεων ἔτι μητροπολίτην ἀνηγόρευσεν, ἀποφηνάμενος προσέτι οὗτος ὁ πατριάρχης Φώτιος οὐκ ὀλίγους ὑπευθύνους ἐν τοῖς ἐγκλήμασιν ἐνόχους ἐδικαίωσε, καθῃρημένους ὑπάρχοντας ἀπὸ τοῦ ἁγίου Ἰγνατίου, μένοντος ἐν τῇ ἐξορίᾳ· καὶ ἀντιστρόφως, ὁ πατριάρχης Ἰγνάτιος τοὺς ἀπὸ Φωτίου καθαιρεθέντας ἀθώους ἐκήρυξε καὶ ἀπέδειξε, τῆς οἴκοθεν καθέδρας ἀπολελαυκότας μετὰ τὴν ἐπάνοδον.

Ψευδὲς ἄρα τὸ εἰρημένον, δεῖν ὅλους λαμβάνειν τὴν ἄφεσιν ἐξ οὗ καὶ τὸ ἐπιτίμιον εἰλήφασι, καθάπερ ἐκ τῶν ἄνωθεν ἐστρωμένων καὶ ἀποδέδεικται, περισσοτέρως δὲ καὶ ἀπὸ τῶν νεωστὶ γεγενημένων ἕξει τὸ κῦρος καὶ τὴν βεβαίωσιν.

Καί γε μὴν ὁ νῦν πατριάρχης Παΐσιος καθῄρηται ἀμωσγέπως, καὶ τοῦ θρόνου ἐξεβλήθη ἀπὸ τοῦ Κωνσταντινουπόλεως Παρθενίου, συγκεχώρηται ὅμως καὶ εἰς τὸν γνήσιον θρόνον

ἀποκατέστη, διὰ πρεσβειῶν τῆς σῆς γαληνοτάτης μεγαλειότητος, παρὰ τοῦ οἰκουμενικοῦ Μεθοδίου, τοῦ τανῦν διοικοῦντος τοῦ Πατριαρχείου τοὺς οἴακας.

Πρόσθες ἐπὶ τούτοις, ὅτι ὁ Πιτυροῦν μητροπολίτης καὶ πρωτοκάθεδρος κατηγορήθη πλειστάκις ἀπὸ τοῦ Νίκωνος, καθ' οὗ καὶ λιβέλλους ἐγκληματικοὺς ἐν τῇ Συνόδῳ εἰσέφερεν ὡς ἐπὶ πώλου καθῆστο τῇ Κυριακῇ τῶν Βαΐων, καὶ ὅμως διὰ τοῦτο καὶ δι' ἄλλα αἰτιάματα, οὔτε παρ' αὐτοῦ τοῦ Νίκωνος, οὔτε παρὰ τῶν δύο τῶν ἐνθάδε παρευρεθέντων πατριαρχῶν, οὔτε μὴν παρὰ τῆς συγκροτηθείσης ὅλης Συνόδου συνεχωρήθη, καί περ ἔτι ζῶντος τοῦ Νίκωνος, διὰ τὰ ἐπικείμενα ὡς ἐπιτίμια· εἰ δὴ τοῦτο ἀπαιτεῖν παρ' ἐκείνου ἄγος ὁμοῦ καὶ ἀθέμιτον νομιστέον, ἤδη ἄρα καὶ πέπτωκε τὸ διακεκωδωνισμένον ἀξίωμα, ὡς ἕκαστος ἔχει συγχωρεῖσθαι παρ' οὗ τὸ πρότερον ἐδεσμεύθη ἐπιτιμώμενος.

Τοιγαροῦν, εἰ κἀμὲ ὁ κὺρ Νεκτάριος ὤφθη παιδεύων τῷ τῆς λειτουργίας ἐπιτιμίῳ, οἷος ὢν διατελεῖ ὁ κὺρ Δοσίθεος δοῦναί μοι τελείαν τὴν ἄφεσιν, ἅτε δὴ γνήσιος πατριάρχης καὶ τοῦ Παϊσίου καὶ Νεκταρίου διάδοχος· ἐκεῖνος γὰρ ὁ Νεκτάριος ἑκὼν παρητήσατο καὶ τὴν πατριαρχικὴν βακτηρίαν σὺν τοῖς ἄλλοις ἀμφίοις ἐπεδωρήσατο, παρασχὼν πᾶσαν τὴν ἐξουσίαν αὐτοπροαιρέτως καὶ πεπληροφορημένως τῷ δεσπότῃ μου κὺρ Δοσιθέῳ, παρρησιασάμενος ἐπ' ἐκκλησίας· ὅθεν πλέον οὐ δύναται ὁ Νεκτάριος ἐκφωνῆσαι καὶ εἰπεῖν «ἡ μετριότης ἡμῶν ἔχει σε συγκεχωρημένον καὶ λελυμένον» μηκέτι ὢν πατριάρχης κυρίως. Οὐκ ἔχει ἐξ ἡμισείας τὴν ἄδειαν ἡ μακαριωτάτη αὐτοῦ σεβασμιότης τοῦ δεσμεῖν καὶ λύειν, ἀλλὰ τελείως καὶ ὁλοκλήρως· εἰ δὲ μή, δύο ἂν εἶεν τῷ ἀριθμῷ πατριάρχαι τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, καὶ σχίσμα ἐπηκολούθει διὰ τὸ διπλοῦν τῆς ἀρχῆς, ὅπερ ἀπαίσιόν ἐστι καὶ λογίσασθαι. Ἀλλὰ τῷ σοφῷ καὶ συνετῷ ἀρκοῦσι, διὰ τοῦτο καὶ ἐχεμύθως διάκειμαι.

Ὁ σὸς διὰ παντὸς καὶ κατὰ πάντα ἱκέτης, ὁ ταπεινὸς μητροπολίτης Γάζης Παΐσιος ἰδιοχείρως ὑπέγραψα.

53.

Τοῦ Λιγαρείδου πρὸς Δραγιτζάνον τὸν Καντακουζηνόν.

Χρῄζει τι ὁ Χῖος, οὐχὶ χρημάτων ἢ χλαμύδος, ἀλλά τινος χειμερινοῦ χιτωνίσκου, παρὰ χειμάρρῳ χειμάζων. Χρή σε γοῦν τὰ χρειώδη ἐν τῇ δυσμεταχειρίστῳ χρείᾳ τῷ Χίῳ τάχιστα χορηγεῖν, χαλκοῦ ἄνευ, τὸν ἐγγὺς τυγχάνοντα τῆς Χαλκίδος, χωρὶς ἐγχωνῦντα τὰ χρήματα. Χορεύσεις οὐκ ἄνευ χορδῆς τῇ χρείᾳ μὲν ἀχορτάστως, χρησίμως δὲ χρησομένῳ κατὰ τὸ χρέος χωλεύοντι καὶ τοῖς σοῖς ἐμφιλοχωροῦντι χωρίοις καὶ συγχωρήμασι. Καγχάζεις τυχὸν χαριέστατα τὸ πᾶν διὰ τοῦ χ ἀναγνούς, καὶ αὐτὸ τοῦτο τὸ προχάραγμα χιαζόμενον. Σὺ ἄρα δ' ἔχεις· ἔχεις γὰρ χιάσου, εὔχαρις ὑπάρχων καὶ πάγχρηστος, οὐδ' εἰ χρὴ φάναι πυθόχρηστος χείρων τοῦ Ἀχιλλέως, μᾶλλον καὶ χρηστήριος. Χρεία ὢν καὶ λεγόμενος ἐγχείρισον εὐχειρώτως, εὐχερὴς ὤν, ἔσται δὲ χελιδονιᾶς, χέλυς σοι χραίνουσα, χερσόθεν χοὰς χεύω αὐτόχειρ καὶ καταχύματα, χιλιάκις τὸ χαῖρε κομίζων σοι.

54.

Παΐσιος μητροπολίτης Γαζέων τῷ ἐλλογιμωτάτῳ ἐν ἱερομονάχοις κυρίῳ Θεοδωρήτῳ χαίρειν, ὑγιαίνειν, εὖ πράττειν.

Ἤτησεν ὡς ἀπὸ σοῦ ὁ ἡμέτερος ἀδελφὸς κὺρ Μανασσῆς, τῆς περιβλέπτου Πωγωνιανῆς ὁ ἀρχιεπίσκοπος, τὸ τῆς ἱερᾶς Ἀποκαλύψεως λόγιον, ἐν τῷ κ' κείμενον κεφαλαίῳ· «Καὶ ἐξελεύσεται, φησί, πλανῆσαι τὰ ἔθνη τὰ ἐν ταῖς τέσσαρσι γωνίαις τῆς γῆς, τὸν Γὼγ καὶ τὸν Μαγώγ, ὁ ἀπ' ἀρχῆς ἀνθρωποκτόνος Διάβολος». Τίς ποτε δὴ ἄρα νοεῖται ὁ πολυθρύλλητος οὗτος Γὼγ, καὶ τίς ὢν διατελεῖ ὁ Μαγώγ, πολυπραγμονῶν διάκεισαι ὡς φιλόπευστος. Καὶ δήπου, νὴ τὴν φίλην ἀλήθειαν, ἣν πρὸ πάντων πρεσβεύειν ὀφείλομεν, οἱ ἐπιφανέστεροι καὶ θειότεροι ἑρμηνευταὶ τῶν θεοπνεύστων Γραφῶν τούτου πέρι διδαχθῆναι μᾶλλον ἐπόθουν ἢ ἑτέρους διδάξαι ἀκριβεστέραν τὴν ἔννοιαν, ἅτε δὴ ἀμφιλαφῆ τυγχάνουσαν, κομιδῇ ποικίλην καὶ οὐκουν ἀναμφισβήτητον παρά γε τοῖς νῦν ἐξηγηταῖς καὶ τοῖς πρόπαλαι· ὥστε μὴ μόνον Δηλίου δεῖσθαι κολυμβητοῦ, ἀλλ' ἔτι γε μὴν καὶ σοφιστοῦ Δελφικοῦ πρὸς εἰλικρινεστέραν σαφήνειαν. Πλὴν ὅπως μὴ φανῶ τὸ παράπαν ἀσύμβολος, καὶ τὴν δίκην πάθω τοῦ τὸ θεῖον κρύψαντος τάλαντον, δέχου εὐμενῶς τὰ παρατιθέμενά σοι ἐν τῇ πνευματικῇ τραπέζῃ, καίτοι λιτῶς καὶ δίχα περιττῆς καρυκείας παρεσκευασμένα καὶ ὀλίγῳ ἅλατι κατηρτισμένα.

Τοιγάρτοι ὁ βλέπων τὰ πορρωτέρω τῶν ὄντων θεόληπτος Ἰεζεκιήλ, τοῦ Γὼγ καὶ Μαγὼγ ἐν τῷ λη' καὶ θ' κεφαλαίῳ ἐπεμνημόνευσεν, ὡς ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατὰ τῶν χριστοκτόνων Ἰουδαίων βαρείᾳ τῇ χειρὶ καταστρατηγήσοντος καὶ τὴν πολυχρημονεστάτην οὐκ

ἀμάχως Ἱερουσαλὴμ καταστρέψοντος· ἀνθ' ὧν ὁ Παμφίλου Εὐσέβιος ἐν τῷ θ' βιβλίῳ τῆς *Εὐαγγελικῆς Ἀποδείξεως*, τὸν μὲν Γὼγ ἀλληγορῶν εἰς τὰ ῥωμαϊκὰ εἰσῆξε στρατεύματα, τὸν δὲ Μαγὼγ εἰς αὐτὸν δὴ τῶν Ῥωμαίων μόναρχον καὶ ταξίαρχον ἐπεφόρησε τὴν ἑρμηνείαν, καὶ ἀραρότως· ἐπείπερ ὁ τῶν ὅλων δεσπότης θεάνθρωπος Ἰησοῦς, ὁ εὐδοκήσας ἐπὶ τῆς ῥωμαϊκῆς μοναρχίας ἀρρυπωτάτως τεχθῆναι καὶ ἀπογραφῆναι Ὀκταβιανῷ τῷ μοναρχήσαντι καίσαρι, μονονουχὶ ἐξελέξατο εἰσέτι αὐτὸν τοῦτον καὶ ἀντιλήπτορα πρὸς τὴν ἐκδίκησιν τοῦ ἰδίου αἵματος, εἰς τελειοτέραν ἀντέκτισιν τῆς κατ' ἐκείνου κατενεχθείσης ἀδίκου καθοσιώσεως, πρὸς μεγαλοπρεπεστάτην ἀνάρρησιν τοῦ Εὐαγγελίου ἄχρι περάτων γῆς διασπαρέντος ἑκασταχῇ· «*Καὶ ἐξελεύσεται ἄνθρωπός* φησι τῶν Ἀριθμῶν ἡ θεία πυκτὶς ἐν Κεφ. κδ', *ἐκ τοῦ σπέρματος αὐτοῦ, καὶ κυριεύσει ἐθνῶν πολλῶν, καὶ αὐξηθήσεται ἡ βασιλεία αὐτοῦ ἐπὶ τῆς Γὼγ βασιλείας*· καθότι ἐπὶ τῆς Ῥωμαίων αὐτοκρατορίας καὶ ἡ τοῦ Χριστοῦ διδασκαλία συνήκμασε καὶ συνηύξησε κατ' ἀλήθειαν, κώλυμα εὐραμένη οὐδὲν πρὸς τὸ κήρυγμα, ἑνὸς καὶ μόνου ἀνὰ πᾶσαν δεσπόζοντος τὴν ὑφήλιον, τοῦ σεβαστοῦ Καίσαρος τῆς μονοκρατορίας τὰ σκῆπτρα διέποντος.

Ἡκέτην γοῦν ὁ Γὼγ καὶ Μαγώγ, ὁ Οὐεσπεσιανὸς καὶ ὁ Τίτος πατὴρ καὶ υἱός, ἄμφω Ῥωμαίω καὶ δεξιὼ στρατηγὼ ἀνηγορευμένω, ὕστερον οὐκ ἀθεεὶ (sic) αὐτοκράτορε, μυριάδας φέροντε στρατοῦ ἔνθεν κἀκεῖθεν συνηγμένας εἰς καταστροφὴν αὐτοτελῆ καὶ καθαίρεσιν τῆς προφητοκτόνου πόλεως Ἱερουσαλήμ, ὥσπερ ἤδη καὶ ἤνυσται καὶ εἰς πέρας ἦλθε τὰ τῆς θείας προγνώσεως προθεσπίσματα. Καὶ δὴ κατεσκάφη πᾶσα Ἱερουσαλὴμ ἀπὸ τοῦ σώφρονος καὶ νικητοῦ Τίτου, Θεῷ φήναντι ἐπιδεδωκέναι τὰς ἑαυτοῦ χεῖρας ἐπὶ ὀργήν, κατηθάλωται δὲ ὁλοσχερῶς ὑπὸ τῶν στρατιωτῶν καὶ τὸ ἱερὸν τὸ ὑπὸ τοῦ Ἔσδρα τὸ δεύτερον ἀνακαινισθέν, πυρὸς παμφάγου γεγονὼς παρανάλωμα ὥστε μὴ ἐπιμεῖναι λίθον ἐπὶ λίθου, κατὰ τὴν δεσποτικὴν ἀψευδείαν τοῦ Θεοῦ ἡμῶν, ναὶ δὴ καὶ κατὰ τὴν ἀπαράγραπτον τοῦ Ἰεζεκιὴλ πρόρρησιν, προφητεύσαντος τὴν τελευταίαν ἐρήμωσιν τῶν Ἱεροσολύμων ὑπὸ Γὼγ καὶ Μαγὼγ τελεσθησομένην. Λείπεται δὲ ἄρα τὰ τῆς Ἀποκαλύψεως γενησόμενα καὶ ἀναμφιβόλως ἐσόμενα ἐν τῷ μέλλοντι τοῦ καιροῦ διαστήματι, ἃ καὶ καθ' Ὅμηρον εἰπεῖν «θεοῦ ἐνὶ γούνασι κεῖται»· εὖ γὰρ πείθομαι τῷ πολυγλώσσῳ Ἱερωνύμῳ τῷ ἀποφηναμένῳ Γὼγ εἶναι τὸν ἀρχιστράτηγον Μιχαήλ, τὸν μάχην ἤδη ἐγείραντα κατὰ τοῦ Μαγὼγ Ἑωσφόρου, τοῦ ἀντάρτου καὶ λειποτάκτου· εἵπετο γὰρ πεπληρῶσθαι τὴν προφητείαν οὐ μόνον τοῦ Ἰεζεκιήλ, ἀλλὰ καὶ τοῦ θεατοῦ τῶν ἀρρήτων ἀποκαλύψεων, τῆς κοινῆς ἐπέκεινα ὑπολήψεως τῆς ὑποτιθεμένης περὶ τοῦ Ἀντιχρίστου εἶναι τὴν πρόρρησιν· ἥπερ καὶ Ἀρέθᾳ τῷ ἀρχιεράρχῃ δοκεῖ, φάσκοντι τὸν μὲν Ἰεζεκιὴλ εἰρηκέναι περὶ τῆς ἐρημώσεως Ἱερουσαλήμ, τὸν δὲ Ἰωάννην φθέγγεσθαι διὰ τὴν πόρθησιν ὅλης τῆς οἰκουμένης, εἶναι δὲ Γὼγ μοῖραν τῶν Γότθων πανώλεθρον, τῶν συχνάκις τὴν πρεσβυτέραν Ῥώμην καταδηωσάντων καὶ τὰ πέριξ αὐτῆς καταπορθησάντων, καθάπερ γράφει ἐλευθεροστομῶν ὁ Προκόπιος. Ξυνᾴδει καὶ ὁ γέρων ἀμβροσίας θεῖος Ἀμβρόσιος διὰ Γὼγ τοὺς Γότθους ἐννοησάμενος, ἄνδρας ἀπηνεῖς καὶ μαχιμωτάτους, τοὺς νῦν καλουμένους Σοήβους, τοὺς τὴν Ἰταλίαν καταληϊσαμένους ποτὲ καὶ πόλεις πολυανθρώπους εἰς ἔδαφος καταρρίψαντας· διὰ δὲ Μαγὼγ τοὺς κοινῇ Σκύθας προσαγορευομένους, ἄνδρας καὶ αὐτοὺς ἀπηγριωμένους, τοὺς κατὰ τὴν Μαιῶτιν λίμνην καὶ τὸν Καύκασον κατοικοῦντας, μάλιστα δὲ καὶ τὴν παρωκεανίτιν ἀκτὴν νεμομένους μέχρι τῶν ὁρίων τῆς Ἰνδίας προσεννενεγμένους, οἱ πολλοὶ τῶν συγγραφέων διαμαρτύρονται. Ἡ μὴν ὁ Μαγώγ, ἣ περ ἱστορεῖ ὁ Ἰώσηπος ἐν τῷ α' βιβλίῳ τῆς αὐτοῦ Ἀρχαιολογίας, εἷς ὑπῆρξε τῶν υἱῶν τοῦ Ἰάφεθ, κατὰ καὶ τὸ δέκατον τῆς Γενέσεως. Ἐπεὶ δὲ ἄρα κατῴκησε τὴν Σκυθῶν εὐρύχωρον χώραν, ἀπὸ τῆς οἴκοθεν ἐπωνυμίας πᾶσα ἐκείνη ἐπεκλήθη Μαγώγ. Ἔνθεν τοι μιᾷ φωνῇ, ἑνί τε ὀνόματι σωρηδὸν συλλεγμένοι Σκῦθαι προσαγορεύονται. Καὶ οὗτοί γέ μην οἱ νομάδες καὶ σποράδες καὶ οἱ τὴν Κασπίαν ἔχοντες θάλασσαν, καὶ μένοντες κεκλεισμένοι ἐν ταῖς Χαλκείαις Πύλαις ἀπὸ τῶν χρόνων τοῦ Μακεδόνος Ἀλεξάνδρου, ἔσονται στρατευσόμενοι κατὰ τὸν θεῖον χρησμὸν τοῦ ἀρχιερέως Ἱππολύτου κατὰ τῆς ἀποστολικῆς ἐκκλησίας, τῆς στρατευομένης κατὰ Ἱερουσαλὴμ δηλονότι· σὺν οἷς συναχθήσονται καὶ τὰ παραπλήσια ἔθνη τὰ βάρβαρα, τὰ θηριώδη τε καὶ ἀπάνθρωπα κατὰ τῶν ὁσίως ζώντων οὐκ ἀναιμωτὶ μαχεσόμενα[1]. . . . . .

. . . . . .

Πρόσθες εἰ βούλει καὶ τὸ πάνσοφον αἴνιγμα τοῦ διὰ Χριστὸν σαλοῦ Ἀνδρέου, τοῦ φήσαντος

1) Παραλείπεται ὧδε ἡ ἑπομένη περίοδος.

γενησομένην τὴν ἀπολύτρωσιν διὰ τῶν ἐμπεριεχομένων ἐν τῷ δεκάτῳ ἑβδόμῳ στοιχείῳ τοῦ ἀλφαβήτου, ἀμέλει διὰ τοῦ ῥ. Τούτοις ἄρα ἑπόμενος ὑπογράφω κἀγὼ ἱκανώτατα, μηδ' ὁτιοῦν ἀντιλέγων ἢ ἀνθιστάμενος, οἶμαι δὲ ὡς καὶ οὐδεὶς τῶν εὖ φρονούντων καὶ εὐλογίστων ἐναντιωθήσεται μέχρις ἂν ὁ καθ' ἡμᾶς βίος περαιωθήσεται.

Τοιγαροῦν πείσθητι κἀμοὶ τοῖς εἰρημένοις, ἑλλογιμώτατε, καὶ μὴ ζήτει μείζω καὶ ὑψηλότερα, ἔξω τῆς λεωφόρου φερόμενος. Ὑπάρχουν καὶ ἄλλων πολλῶν ὡς παρενθησόμενος διὰ πάρεργα, πλὴν ἀλλ' ἐπειδὴ ὁ τρόπος τῆς ἐπιστολῆς οὐ στέργει τὸ μῆκος ἐπὶ πολὺ ἐκτεινόμενον, συστείλας τὰ ἱστία τοῦ λόγου, πρὸς τὸν εὐλίμενον ὅρμον τῆς σιωπῆς χαίρων κατάγομαι, καταβοῶν σοι τὸ ἐπιβατήριον.

Ἐρρωμένως διάγοις ὑγιαίνων κατ' ἀμφότερον τὸν ἄνθρωπον, τὸν ἔσω τοῦ παθήματος καὶ τὸν ἔξω τοῦ σώματος.

Ἀχοα', Ὀκτωβρίου κζ'.

Τῆς σῆς πανοσιότητος θερμὸς εὐχέτης
Παΐσιος ὁ Λιγαρείδης Χῖος, ὁ Γαζέων.

ΝΕΚΤΑΡΙΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

55.

Τῷ πανιερωτάτῳ μητροπολίτῃ Ἀδριανουπόλεως καὶ συναδελφῷ ἡμῶν κὺρ Νεοφύτῳ, Νεκτάριος πρώην Ἱεροσολύμων πατριάρχης τὸν ἐν Χριστῷ ἀδελφικὸν ἀσπασμόν.

Ἐδεξάμεθα καὶ τὴν ἔναγχος μετὰ τῶν ἀδελφῶν πεμφθεῖσαν ἐπιστολήν, ἐν ᾗ πρὸς τοῖς ἄλλοις καὶ τὴν ὑπόσχεσιν ἀπήτει ἡ σὴ θεοσέβεια, πρὸς ἣν ἡμεῖς καὶ πρὸ τῆς ἀπαιτήσεως σπεύδοντες ἦμεν, πέμπεται δέ σοι νῦν. Ἐπεὶ δὲ τοῖς φιλοσοφοῦσιν ἔθος πρὸ τῆς ἀναγνώσεως παντὸς βιβλίου ζητεῖσθαι, τίς δηλαδὴ ἡ ἐπιγραφὴ τοῦ βιβλίου, τίς τε ὁ συγγραφεύς, καὶ εἰ γνήσιον τὸ βιβλίον τοῦ συγγραφέως, καὶ τί τὸ περὶ οὗ ὁ λόγος, καὶ τέλος πρὸς τί ἂν χρησιμεύσειεν, ἕκαστον τούτων εἰπεῖν ἔρχομαι. Ἐπιγράφεται μὲν τὸ βιβλίον *Ἱστορικόν*, εἶτ' οὖν Πρακτικὰ τοῦ Φλωρεντινοῦ συνεδρίου ἐκείνου, ὁ δὲ τοῦτο συγγραψάμενος τῆς ἐν Κωνσταντινουπόλει Μεγάλης Ἐκκλησίας ἄρχων ἦν, μέγας Ἐκκλησιάρχης τὸ ἀξίωμα, Σίλβεστρος τοὔνομα καὶ Συρόπουλος τὸ γένος· ὅτι δὲ καὶ γνήσιον τούτου τὸ βιβλίον, καταφανές ἐστιν ἅπασι τοῖς μετιοῦσι· παρῆν γὰρ οὗτος τοῖς τότε λεγομένοις τε καὶ πραττομένοις ἐκεῖσε, ἑλκόμενος πρὸς Ἰταλίαν σὺν τοῖς ἄλλοις ἑκοντὶ ἀέκοντι θυμῷ, καὶ τὰ πάντα ἀκριβῶς ἰδών τε καὶ γνωρίσας ἀληθῶς διέξεισι. Τὸ δὲ περὶ οὗ ὁ λόγος, δεῖξαι προβάλλεται, ὅτι τὴν μὲν ἀρχὴν κατὰ τρόπον οἰκουμενικῆς συνόδου συνηθροίζετο· συνεκροτεῖτο γὰρ παρὰ πάσης ἀνατολικῆς καὶ δυτικῆς ἐκκλησίας σὺν αὐτῷ βασιλεῖ αὐτοκράτορι· τὰ δ' ἐντεῦθεν ἄχρι τέλους πάντα βίαια καὶ τυραννικὰ ὑπῆρχον, καὶ πρὸς τοῦτο μόνον ἀφορῶντες Λατῖνοι, ὑπὸ τὸν Πάπαν πᾶσαν ὑποτάξαι τὴν Ἐκκλησίαν, καὶ κεφαλὴν αὐτὸν κυρῶσαι τῶν Συνόδων, ὅπερ πρὸ πολλοῦ Λατῖνοι ὠνειροπόλουν. Χρήσιμον δ' ἀντιλέγειν καὶ ἀντιφέρεσθαι παντὶ ὀρθὰ φρονοῦντι πρὸς τοὺς πειρωμένους δεικνύειν τὸ συνέδριον ἐκεῖνο γνησίαν οἰκουμενικὴν σύνοδον, καὶ τοὺς μὴ ταύτῃ πειθομένους ἡμᾶς σχισματικοὺς καὶ ἀκολούθως αἱρετικοὺς ἀποκαλοῦντας· οἱ μὲν γὰρ Λατῖνοι τὴν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἡμῶν τῶν Ἀνατολικῶν δόξαν αἵρεσιν μὴ ἔχοντες ἀποδεικνύειν, μᾶλλον δὲ καὶ ὀρθόδοξον τινὲς ἐξ αὐτῶν ὁμολογοῦντες, πρὸς ἕτερά τινα ἐτράπησαν, ἐξ ὧν πειρῶνται, μὴ δεχομένους ἡμᾶς ταῦτα, ὡς προφανεῖς καινοτομίας, σχισματικοὺς καὶ αἱρετικοὺς ἀποκαλεῖν. Τρία δὲ ταῦτά εἰσιν ἐφ' οἷς μᾶλλον ἐπερείδονται, πρῶτον μὲν ἡ κακῶς ἐπινοηθεῖσα κατὰ πάσης τῆς καθόλου Ἐκκλησίας αὐτοκρατορία τοῦ Πάπα· δεύτερον, ὅτι ἐπὶ Μιχαὴλ τοῦ Παλαιολόγου γέγονε συνοδικὴ ἕνωσις ἀνατολικῶν τε καὶ δυτικῶν, ὥς φασι, γνησία καὶ κανονική· καὶ τρίτον, τὸ συνέδριον ἐκεῖνο τὸ Φλωρεντινὸν προβάλλονται, γνησίαν καὶ αὐτὸ ἀποκαλοῦντες σύνοδον. Τοὺς γοῦν τὰ τρία ταῦτα μὴ ἀποδεχομένους, σχισματικοὺς ἀποκαλοῦσι καὶ αἱρετικούς, τὸ μὲν φάσκοντες, ὅτι τοῦ Πάπα ἀπεσχίσθησαν, τὸ δ' ὅτι τὰς εἰρημένας συνόδους μετὰ τὸ ἑνωθῆναι ἠθέτησαν. Καί τις γὰρ φράτωρ τῆς συμμορίας τῶν Φραγκισκάνων, Πέτρος τοὔνομα, τῶν παρ' αὐτοῖς λεγομένων μαγιστόρων τῆς θεολογίας, τὰ τρία ταῦτα προβάλλεται ἐν ὁλοκλήρῳ βίβλῳ προσκομισθείσῃ ἡμῖν παρ' αὐτοῦ τῇ σφῶν διαλέκτῳ, πρὸς ἃ καὶ τὰς ἀπαντήσεις τῇ ἐνούσῃ δυνάμει πεποιήκαμεν. Ἄμφω δὲ τὰ βίβλω ἐπιφέρεται ὁ μακαριώτατος, καὶ σοφώτατος πατριάρχης Ἱεροσολύμων κὺρ Δοσίθεος, ὁ ἐν Χριστῷ ἀγαπητὸς ἀδελφός, καί, εἰ βουλητὸν τῇ σῇ θεοσεβείᾳ, εὔροις ταῦτα παρ' αὐτῷ. Τὸ δὲ νῦν πεμπόμενον ἱστορικὸν τοῦ Συροπούλου μενέτω παρὰ τῇ σῇ φιλοπόνῳ σπουδῇ, καὶ ἐναποταμιευέσθω τῇ ὑμετέρᾳ βιβλιοθήκῃ· οἶδα γάρ σου τὴν θεοσέ-

βειαν περὶ πολλοῦ ποιεῖσθαι βιβλιοθήκην τελείαν συναθροῖσαι, ὑπὸ τῆς ἄγαν σου φιλομαθείας ὁρμώμενος καὶ τῆς πρεπούσης ἀρχιερατικῇ ἀξίᾳ σπουδῆς. Τίς γὰρ ἄλλος ἐπιμονέστερόν σου ταῖς ἱεραῖς βίβλοις ἐντρυφᾶν εἴωθε, καὶ πολυπειρίαν ἐκ τούτων ὅτι μάλιστα συνελέξατο ; Εἰ δὲ ἀξιώσειας καὶ τύπῳ τὴν βίβλον ἐκδοθῆναι, ἔσῃ πραγμάτων ἀθανάτων κἀν τούτῳ ἐραστής· οἴονται γὰρ οἱ Λατῖνοι ἐξαπατωμένους ἑαυτούς, τοῖς ἐν Ρώμῃ τυπωθεῖσι πρακτικοῖς πειθόμενοι, εἰ καὶ παρ' ἐκείνοις πολὺ τὸ βίαιον φέρεται, ὡς ἐν ἄλλοις ἡμεῖς γράφοντες ἐδείξαμεν· πεφιλοπόνηται δ' ἡμῖν καὶ πίναξ τῆς βίβλου κατ' ἀρχὰς ἐκτεθείς. Ἐρρωμένως μοι διαβιώης ἐς ἡλίους μακρούς, ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.

Κατὰ τὸ αχοβ' ἔτος τὸ σωτήριον, Θαργηλιῶνος πέμπτῃ μεσοῦντος.

Ἐξ ἁγίας πόλεως Ἱερουσαλήμ.

Ὁ πρώην Ἱεροσολύμων Νεκτάριος.

56.

Τῷ παναγιωτάτῳ καὶ σοφωτάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως νέας Ρώμης, καὶ οἰκουμενικῷ πατριάρχῃ, κυρίῳ κυρίῳ Διονυσίῳ, Νεκτάριος πρώην Ἱεροσολύμων πατριάρχης ὑγείαν, εὐπραγίαν, ὡς ἐν Χριστῷ ποθεινοτάτῳ ἀδελφῷ.

Ἀνέμῳ δουλεύει θάλασσα, ἡ παροιμία φησί, καὶ οἱ τῶν Λατίνων σχολαστικοὶ τῇ φυσιώσει καὶ τῷ τύφῳ τοῦ σφῶν ἀρχιερέως Ρώμης δεδούλωνται καὶ κινοῦνται ὡς κύματα μακρὰ νότου Ἰκαρίοιο, τὰ μὲν εὖρός τε, νότος τε ὦρορ' ἐπαίξας λάβρος ἐπαιγίζων, βρέμεται δὲ μεγάλῳ αἰγιαλῷ τῇ τῆς ἀληθείας στερρότητι προσρηγνύμενα καὶ εἰς ἀφρὸν διαλυόμενα· σμαραγεῖ δέ τε πόντος, αἱ τῶν ἁπλουστέρων ἀκοαὶ καταβροντῶμεναι ταῖς τούτων θέσεσί τε καὶ ἀντιθέσεσιν ἀγωνιζομένων συνιστᾶν, ὅτι θυμὸς μέγας ἐστὶ τῷ Πάπᾳ, ὅτι τε ἡ τούτου τιμὴ ἐκ Διός ἐστι, φιλεῖ δὲ μητιέτα Ζεύς· ὁμηρικῶς γὰρ ἁπαντᾶν χρὴ πρὸς τοὺς οἰομένους ὁμηρίζειν καὶ κυκεῶνα τὰ πάντα ποιοῦντας, ὅτι κἀκ τῶν τοῦ Ὁμήρου ἐπῶν οὐκ ὤκνησαν τὴν τοῦ Πάπα δεικνύειν μοναρχίαν· λέγοντος γὰρ ἐκείνου, οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω, εἷς βασιλεύς, ᾧ ἔδωκε Κρόνου παῖς σκῆπτρον, καὶ ὡς νόμον αὐτεξουσίου μοναρχίας τὴν τοῦ ποιητοῦ γνώμην δεξάμενοι πρὸς τὴν τοῦ Πάπα μοναρχίαν ἀδεῶς τὸν λόγον ἐφαρμόζουσιν, οἵτινες ὁμηρίζειν ἐπαγγελλόμενοι τὰ τοῦ Ὁμήρου οὐ συνίασιν. Ἔφη μὲν οὖν ἀληθῶς ἡ ποίησις, ὅτι ὁ Κρόνου παῖς (σιγάσθω νῦν ἡ ἀλληγορία) τῷ βασιλεῖ δέδωκε τὸ σκῆπτρον, ἀλλὰ προστίθησιν, ὅτι καὶ τὰς θέμιστας· ὅπερ ἀριδήλως τὴν ἔννομον βασιλείαν ὑπεμφαίνει. Βασιλεύει μὲν γὰρ ὁ βασιλεύς, ἀλλὰ διὰ τῶν νόμων· καὶ βασιλεύει μὲν τοῦ πλήθους, βασιλεύεται δὲ καὶ αὐτὸς ὑπὸ τῶν νόμων, τῶν νόμων δ' ὑπεκστὰς εἰς τυραννίδα τὴν βασιλείαν μετήμειψε. Τοῦτο δὲ οἱ σχολαστικοὶ περὶ τῆς μοναρχίας τοῦ Πάπα διαλεγόμενοι καὶ πολυπραγμονοῦντες φαίνονται· οὐ γάρ, ἐν οἷς ἀποφαίνονται, ἔννομον τὴν ἀρχὴν τούτου λέγουσιν ἀλλὰ τυραννικήν. Φασὶ δὲ καὶ κεφαλὴν αὐτὸν τῶν συνόδων καὶ νόμων ἁπάντων κύριον, ἵνα οὓς ἂν βούληται ἀκυροῦν, οὓς δ' αὖ ἀποδέχεσθαι· καὶ τοῖς μέν, ἑτέρους ἰδίους ἀντεισάγειν, ἀπὸ δὲ τῶν, ἀφαιρεῖν, μηδενός, ὥς φασιν, ἀντειπεῖν ἐξουσίαν ἔχοντος. Λέληθε δ' αὐτοὺς καὶ τὰ ἐπακολουθήσαντα δυσχερῆ τῇ παραβάσει τῆς Ὁμήρου ἀσφαλοῦς (ὡς οἴονται) νομοθεσίας, ὅτε τὸν τοῦ δικαίου νόμον Ἀτρεΐδης παραβάς, τὸν μέγ' ἄριστον τῶν Ἑλλήνων ἀτιμάσας, καὶ θεοῖς αὐτοῖς ἔχθιστος ἐγένετο, καὶ οὖλος ὄνειρος αὐτῷ καταπέμπεται, καὶ ἀπατᾶται παρὰ τοῦ Θεοῦ, καὶ δυστυχεῖ τὰ δεινότατα, οὐ μόνον ὅτε πολεμῶν ἦν, ἀλλὰ καὶ οἴκοι ἐπαναστρέψας. Ἐπεὶ οὖν οὗτοι τὰ τοῦ Ἀγαμέμνονος ἀπὸ τοῦ Ὁμήρου τῷ Πάπᾳ προσαρμόζουσι, καὶ ἡμεῖς οὐδὲν ἄτοπον, οἶμαι, ποιοῦμεν τανῦν οὕτω πως τὰ ἐκείνου τοῖς τοῦ Πάπα συγκρίνοντες· δείκνυται γὰρ καὶ οὗτος τὸν νόμον ἀθετήσας τοῦ δικαίου, ὅτι αὐτοκρατορίαν αὐχεῖ ἑαυτῷ, οὔτε παρὰ τῶν πατέρων ταύτην λαβών, οὔτε παρὰ τῶν ἀποστόλων, πολλῷ μᾶλλον οὐδ' ἀπ' αὐτοῦ τοῦ σωτῆρος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Οὕτω δή φημι, παναγιώτατε καὶ σοφώτατε ἀδελφὲ ἐν Χριστῷ καὶ δέσποτα, οὕτω δή φημι (ἵνα τὸν λόγον ἐπαναλάβωμεν) καὶ οἱ σχολαστικοὶ τῶν Λατίνων δεδούλωνται τῇ φυσιώσει τοῦ Ρωμαίων ἀρχιερέως, ὅπου ἕκαστος αὐτῶν φιλοτιμότερος ἄλλου ἀγωνίζεται φανῆναι γράφων καὶ διαλεγόμενος περὶ τῆς τούτου ἀρχῆς· ὁ δὲ ἀσμένως ἀποδεχόμενος ἀμείβεται τούτους ὑπερβολικοῖς τοῖς χαρίσμασι· τῷ μὲν γὰρ ἁγιωσύνης δωρεῖται μετὰ θάνατον ὄνομα, ἐπ' οὐδενὶ ἄλλῳ ἀρετῆς κατορθώματι εἰμὴ ὅτι τὴν τοῦ Πάπα ὑπεροχὴν γράψας ὑπερηύξησε καὶ λόγοις ἐκράτυνεν· ἕτερον δὲ ἐρυθροβαφεῖ σκιαδίῳ τετίμηκε, τούτου καὶ μόνου ἕνεκα· ὧν καὶ τὰ ὀνόματα πασίδηλα ὄντα ἑκὼν ὑπερβήσομαι. Τὸν δ' ἄρτι ἀναφανέντα σχολαστικὸν καὶ μαίστορα (κατὰ Λατίνους εἰπεῖν) τῆς θεολογίας, καὶ τοιαύτης, ὡς ἐδόκει, καὶ αὐτὸν τιμῆς ὀρεγόμενον, λέξων ἔρχομαι τῇ ἀδελφικῇ σου συμπνοίᾳ. Οὗτος τοιγαροῦν τῆς συμμορίας ὧν τῶν ἐνταῦθα οἰκούντων φρατόρων, χάριν προσκυνήσεως δήπου ἐπιδημήσας τῇ Ἁγίᾳ Πόλει, τὴν βίβλον ταύτην λατινιστί, ὡς ὄψεται ἡ σὴ παναγιότης, συντεταχὼς προσενήνοχεν ἡμῖν, ὕλην ἄλλην τῆς συγγραφῆς μὴ ὑποθείς, εἰμὴ τὸ δεῖξαι καὶ αὐτός, ὅτι ἦν ὁ Πάπας ἔλαχεν ἐκκλησιαστικὴν διέπειν ἀρχήν, καθολική τε ἐστὶ καὶ αὐτοκρατορική, καὶ τὸ ἐπαχθέστερον, μὴ δυναμένην ἁμαρτῆσαι πώποτε. Οὐκ οἶδα δ' ὅν τινα σκοπὸν πρὸς ἡμᾶς ὁ γεννάδας εἶχεν, ἢ πείσειν ᾤετο τοῖς τοιούτοις αὐτοῦ λόγοις, ἢ πρὸς ἀγῶνα καὶ λόγων ἅμιλλαν προσεκαλεῖτο. Ἀλλὰ τὸ μὲν πρῶτον οὐδ' ὄναρ ἰδεῖν ἤλπισεν ἄν, ἡψάμεθα δὲ τοῦ δευτέρου τὸν ἐνόντα τρόπον ἀπαντήσαντες. Ἄμφω δὲ τὰ βίβλω κομίζει πρὸς ὑμᾶς ὁ μακαριώτατος καὶ σύμφρων ἡμῶν τε καὶ ὑμῶν ἀδελφός· πάλαι μὲν γὰρ τὸν περὶ τοῦ καθ' ἡμᾶς ὀρθοῦ λόγου ζῆλον τεθαυμάκαμεν τῆς θεοσόφου σου ψυχῆς, ἐφ' ᾧ σε νομίζω καὶ τὸ πνεῦμα φέρον ἦκεν ἐπὶ τὴν ἄκραν τῆς οἰκουμενικῆς καθέδρας περιωπήν, ὡς ἄξιον ἐργάτην τοῦ μυστικοῦ ἀμπελῶνος Χριστοῦ, δυνάμενον τὰ τῶν ἑτεροδοξούντων νόθα ἐκτέμνειν βλαστήματα καὶ πρόρριζα ἀνασπᾶν, τὰ δὲ εὐθαλῆ καὶ καρποφόρα κλήματα ζεούσῃ καρδίᾳ περιποιεῖσθαι. Καὶ μεμφέτω μηδεὶς ἡμᾶς τῆς συγγραφῆς ταύτης, μὴ πρότερον ἐγκύψας ταῖς παρ' ἐκείνου προβληθείσαις θέσεσιν, εἴτε καὶ ἀντιθέσεσι, καὶ τοῖς τῶν θέσεων τμήμασι καὶ τοῖς ἄλλοις ἅπασιν, οἷς καθ' ἡμῶν ἐχρήσατο λόγοις· οὐ γὰρ ἄν ποτε (νὴ τὴν ἱερὰν σου ψυχὴν) εἰς τοιούτους ἐχωρήσαμεν λόγους, μὴ διδόντος ἐκείνου τὰς ἀφορμάς· νῦν δὲ εἰ σιγὴν ἐχρῆν ἡμᾶς ἄγειν πρὸς τὰς παρ' ἐκείνου καθ' ἡμῶν ἀλαζονείας καὶ ὕβρεις, τοσαύτας τε καὶ τοιαύτας οὔσας, οὐδεὶς οἶμαι τῶν ὀρθὰ φρονούντων εἴποιεν ἄν. Κοινῇ μὲν γὰρ οὗτος κατὰ πάντων ἡμῶν τῶν Ἀνατολικῶν ἀναρριπίζει τὸν πόλεμον, σχισματικοὺς ἅπαντας, καὶ ἀκολούθως (ὡς φησιν) αἱρετικοὺς ἀποκαλῶν, ἰδίως δὲ κατὰ τοῦ οἰκουμενικοῦ θρόνου τῆς Νέας Ρώμης, καὶ τῶν ἐννόμως καὶ δικαίως ἀπονεμηθέντων αὐτῷ πρεσβείων παρά τε συνοδικῶν κανόνων ἄνωθεν καὶ βασιλικῶν διαταγῶν. Ἔδακνε γάρ, καὶ ἔτι καὶ νῦν δάκνει ὁ τῆς φιλοτιμίας δεινὸς σκώληξ αὐτῶν τὴν καρδίαν περὶ τοῦ *Οἰκουμενικὸς* προσφωνήματος, καὶ πάντα κάλω ἐκ πολλοῦ κινοῦσι πρὸς τὸ κατασιγάσαι τὴν φωνήν, τῷ τῆς παλαιᾶς Ρώμης προέδρῳ, ταύτην μόνῳ ἁρμόζειν οἰόμενοι. Τοὺς δέ γε συνοδικοὺς ἐκείνους κανόνας τοὺς τὰ ἴσα πρεσβεῖα τῷ Ρώμης καὶ τὸν τῆς Νέας ἔχειν διορίζοντας ἀπαλείφειν μὲν οὐ δύνανται, ἂν καὶ τῇ κεφαλῇ τὸν οὐρανὸν ἀράσσωσι, πειρῶνται δὲ τοὺς μὲν παρερμηνεύειν, τοὺς δὲ παραγράφειν. Τίς οὖν πρὸς Θεοῦ ἠλίθιος οὕτω, ταῦτα καὶ τοσαῦτα τοῦ καλοῦ τούτου φράτορος καθ' ἡμῶν τερατευομένου, ὥστε γλῶσσαν ἐπισχεῖν καὶ χεῖρα μὴ κινεῖν πρὸς γραφικὴν ἀπάντησιν; Εἰ γὰρ ἐσιωπῶμεν, δυοῖν θάτερον ἐπηκολούθησεν ἄν, ἢ ὅτι συγκατεθέμεθα τοῖς αὐτοῦ λόγοις, τῆς σιωπῆς συγκαταθέσεώς τινος οὔσης, ἢ ὑπ' ἀμηχανίαν εἰς ἀπάντησιν οὐχ οἷοί τε ἦμεν· καὶ τοῦτο γάρ τό γε νῦν ἔχον Λατῖνοι ἐπισκώπτουσιν ἡμῶν τῶν ἀνατολικῶν, ἐκβαρβαρῶσαι πάντῃ λέγοντες τὸ τῶν Ἑλλήνων πάλαι σοφώτατον γένος. Ἀγνοοῦσι δὲ ὅτι Ἑλλήνων μαθηταὶ πρὸς πᾶσαν ἰδέαν λόγου ἄνωθεν καθεστήκασιν; ἀλλὰ καὶ τό γε νῦν εἶναι ὁ μικρότερος τῶν Ἑλλήνων μείζων αὐτῶν ἐστι τῇ ἀληθείᾳ ὠχυρωμένος· ἁπλοῦν γὰρ ἡ ἀλήθεια, πολυσχιδὲς δὲ τὸ ψεῦδος, τέχνῃ μόνῃ διαλεκτικῇ συγκαλυφθῆναι δυνάμενον, κοσμούμενον ἀκόσμῳ περιβολῇ, τῷ ἄρα, καὶ τῷ μῶν, καὶ τοιγαροῦν, οἷς μέγα φρονοῦσιν οἱ τῶν Λατίνων σχολαστικοί, μὴ εἰδότες ὅτι τὸ ἄρα καὶ ἄρα πολλοὺς τῇ αἰωνίῳ ἀρᾷ παρέπεμψεν. Ἀλλ' ἔμπης ἵνα μὴ ἐπὶ πολὺ χαίρειν αὐτοὺς ἐάσωμεν, χρὴ καὶ ἡμᾶς ὡς οἷόν τε πρὸς τὰ ὑπ' αὐτῶν καθ' ἡμῶν σκευωρήματα ἀπαντᾶν, καὶ ἀλλήλοις τῇ συμπνοίᾳ τοῦ πνεύματος συναντιλαμβάνεσθαι, οὗ περ τυχεῖν θαρροῦμεν παρὰ τῆς σῆς θεσπεσίας ψυχῆς καὶ τῶν ἐν Χριστῷ τῷ Θεῷ ἀδελφῶν, ποιμένων τε καὶ συμποιμένων τῶν λογικῶν τοῦ Χριστοῦ θρεμμάτων καὶ τοῦ ὀρθοῦ φρονήματος τῆς καθ' ἡμᾶς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας τροφίμους τε καὶ προασπιστάς· ὧν καὶ τὰς εὐχάς, καὶ πρὸ αὐτῶν τῆς σῆς ἱερᾶς ψυχῆς, ἐπιγενέσθαι μοι ὅσαι ἡμέραι εὔχομαι.

57.

Τῷ αὐτῷ ἀντεπισταλτική.

Ἦκεν εἰς ἡμᾶς καὶ αὖθις τὰ τῆς ἱεροαγίας σου χειρὸς σεβάσμια καὶ ἱερὰ γράμματα, ἀδελφικῆς ὅτι μάλιστα γέμοντα ἀγάπης καὶ συμπνοίας πνευματικῆς· ἀπεδέξατο γάρ, ὡς δοκεῖ, τὰς πρὸς τὸν φράτορα ἐκεῖνον πεπονημένας ἡμῖν ἀντιρρήσεις κατὰ τῆς κακῶς ἐπινοηθείσης ἀρχῆς τοῦ κορυφαίου τῶν Λατίνων, ἐν οἷς ἐκθειάζεις ἡμᾶς, τφόντι δὲ μᾶλλον τὴν ἀλήθειαν αὐτήν, οἷα τῆς

ἀληθείας προασπιστὴς καὶ τοῦ ὀρθοῦ λόγου ὑπεραγωνιζόμενος. Ἡμῖν γὰρ εὖ ἴσθι, ὦ θεία καὶ ἱερὰ κεφαλή, οὐδὲν ἐπαίνων μέλει, τῆς ἡλικίας ἤδη τὸ φιλότιμον ἅπαν καταλυσάσης, ἀληθείᾳ δὲ ὥσπερ συνεζήσαμεν οὕτω καὶ τῶν τῇδε συναπελθεῖν καὶ λίαν ἡμῖν περισπούδαστον, καὶ τοῦτο εὐχῆς ἔργον παρ' ἡμῖν μὴ συναπαχθῆναί ποτε ταῖς σκιώδεσι τῶν ἀντιδοξούντων μηχανορραφίαις, κἂν ὅτι πλεῖστα λέγουσι τερατευόμενοι. Λοιπὸν δὲ ἐπὶ τῇ θεοσόφῳ σου ψυχῇ τὰ ἁπλῶς οὑτωσὶ καὶ ἀκάλως ἡμῖν ἐκπεφασμένα καλλύνειν τε καὶ λαμπρότερα ἀποδεικνύειν τῇ ἀξίᾳ τῆς ὑπεροχικῆς σου ἀρχῆς. Τίνι γὰρ ἄλλῳ τοῦτο ἁρμόζει; τὸ μὲν γὰρ ἀντέχεσθαι τῶν ὀρθῶν τῆς ἐκκλησίας δογμάτων πρὸ πολλοῦ ἡ πεῖρα ἡμῖν παρεστήσατο, τὸ δ' ὅτι καὶ τούτων γενναίως τῇ ἰσχύϊ τοῦ Πνεύματος ὑπερασπίζεις ἐξυπερδεξίου τῆς οἰκουμενικῆς Καθέδρας, καὶ πράγμασιν αὐτοῖς δείκνυται καὶ ἡ τὰ ἐκεῖ τῷ πτερῷ διατρέχουσα φήμη διατρανοῖ. Ἡμεῖς δὲ κἀκ πολλῶν ἄλλων τοῦτο καταμαθόντες, οὐχ ἧττον καὶ παρὰ τοῦ μακαρ: φίλου καὶ ἀδελφοῦ τῆς σῆς παναγιότητος κὺρ....., ἡμῖν δὲ ὁμοψύχου, ὃς καὶ πρότερον δι' εὐφήμου γλώττης ἦγεν αὐτήν, ἀλλὰ κἀν τοῖς ἔναγχος ἀποσταλεῖσιν ἡμῖν παρ' αὐτοῦ διὰ θαύματος ἔχει τὴν τὰ πάντα ὡς ἐχρῆν ἀκριβῶς διευθετοῦσαν αὐτῆς σύνεσιν καὶ τῶν αὐτῆς καλῶν πλεῖστα ἄλλα γράφων διηγεῖται, ἃ καὶ λέγειν περιττόν, ἵνα μὴ κολακείᾳ δόξωμεν ἀμαυροῦν τὴν ἀλήθειαν.

Πρὸς δὲ τὰ λεγόμενα ἐν τοῖς ἱεροῖς σου γράμμασιν, ὅπως βεβαρημένος τυγχάνει λίαν ὁ ἀποστολικὸς ὑμῶν θρόνος παγχαλέποις χρέεσι, προσθήσω κἀγὼ τὸν τῶν Ἱεροσολύμων παγχαλεπωτέροις καταντλούμενον, οὐκ ἀνακλαιόμενος τόσῳ ὅσῳ συναλγῆσαι, εἴ γε καὶ ἀλγεῖ τὸ τοῦ φρονήματος ἀνδρικὸν καὶ γενναῖον τῆς σῆς μεγαλοψυχίας, καὶ μὴ μᾶλλον ἥδεται κατορθοῦσα καὶ πρὸς τὸ βέλτιον ἐπανάγουσα τὰ τοῖς ἄλλοις δοκοῦντα δυσανάγωγα. Ἀλλά γε τὸ ἡμέτερον τῇ πολυκεφάλῳ ἐκείνῃ ἀπεικάσειεν ἄν τις ἀνὴρ ἐπήβολος, δέκα κεφαλὰς ἀντὶ μιᾶς τεμνομένης ἀναφυούσῃ· ἄλλος γὰρ ἄλλοθεν καὶ ἄλλῃ ἄλλος αἰτίᾳ ὅσαι ὧραι ἡμῖν ἀεὶ ἐπιφύονται· καὶ τὸν μὲν οὔπω τῆς πάλης προὐπέμψαμεν, καὶ ἕτερος ἐπιτρέχει· καὶ τὸν μὲν τιθασσεύομεν, ὁ δ' ἀγριαίνεται, ἔσθ' ἂν μὴ λάβῃ. Τίνες δ' οὗτοι; κριταὶ ἄδικοι καὶ πικροὶ συκοφάνται τοῖς δικαστηρίοις παρακαθήμενοι, οἱ μὲν ἐπὶ τὸ ἀδικεῖν, οὔμενουν ἐκδικεῖν τὰς ἀρχὰς ἐξωνούμενοι, οἱ δ' ἵνα πόρον ἐκ τῆς συκοφάντου γλώττης αὐτὸν σχοῖεν, συμπεριδυναστεύοντες ἵν', ὥσπερ αὖραι τὰ σπέρματα διαφθείρουσιν, οὕτω δὲ καὶ αὐτοὶ τὰς ἀρχάς. Τῶν τοιούτων δὲ οὐκ ἔστιν ἐν ἄλλῃ οὐδεμιᾷ πόλει πλείονα τῶν ἐνταῦθα εὑρεῖν· διὸ καὶ πολλάκις ἐμαντεύσαμεν, καὶ μαντεύομαι, τῶν πραγμάτων αὐτῶν πειθόντων μοι, ἀπογόνους τούτους εἶναι τῶν ἐπὶ Πιλάτου ἀναβοώντων.....

ΒΗΣΣΑΡΙΩΝΟΣ ΜΑΚΡΗ

58.

Τῷ λογιωτάτῳ καὶ σοφωτάτῳ καὶ ἐν διδασκάλοις ἀρίστῳ κυρίῳ κυρίῳ Σωφρονίῳ τῷ Δαρακίῳ τῶν ποθουμένων ἐπίτευξιν.

Μὴ ἡμῖν ἀμνηστίαν ἐγκαλέσῃς τῆς σιωπῆς, λογιώτατε, ἣν ἐς δεῦρο παρετείναμεν σοφωτάτοις σου γράμμασιν ἐντυχόντες, ἀλλ' οὐ χωρὶς ἀναβολὴν καιροῦ ἀποκριθέντες, δι' ὧν οὐχ ἧττον ἠνιάθην ἐπ' ἀληθείας τῷ καὶ αὖθις πιεζομένην αἰσθέσθαι τὴν ἱεράν σου κεφαλὴν τῷ πάθει τῆς ὀφθαλμίας· ἵλεως οὖν γένοιτό σοι Χριστὸς ὁ Κύριος, ὁ τὰς δυσιάτους νόσους τῶν ἀνθρώπων ἰώμενος. Ἴσθι μέντοι, ἀνδρῶν ἄριστε, ὡς οὐ μετρίως ψυχαγωγεῖς με ὅλως ἐν ἀθυμίᾳ διάγοντα ἐστερημένον τῆς συντυχίας σου, λύων μου τὰς ἀπορίας τοῖς πανσόφοις σου γράμμασιν, ἃ δή που καὶ ὡς ἄλλου Ἰσιδώρου Πηλουσιώτου ἐπιστολὰς λογιζόμενος (οὗ τὸ βιβλίον κέκτημαι) ταῖς ἀποτεταμιευμέναις ἀποσημειώσεσι καταλέγω, ἀκριβῶς τε καὶ ἀπαραλλάκτως ἀντιγράφων ταύτας, ἵνα σου μεμνημένον εἴη τὸ ὄνομα μὴ μόνον ἐμοί, ἀλλά γε καὶ τοῖς μετέπειτα. Δεῖ δή μοι ἀποκρίσεως παρὰ τῆς σῆς ἐλλογιμότητος εἰς τὰς ἀνακυπτούσας ἀπορίας μου, ἐπειδή περ ἀλλαχοῦ τὸ τοιοῦτον εὑρεῖν ἀδύνατον ἔοικε γάρ, ὡς τῇ πείρᾳ μεμάθηκα. Φέρε δὴ ταύτας εἴπωμεν.— Πῶς ἄν τις ἀκριβῶς διαγνοίη παρὰ τοῖς ἐξηγηταῖς τοὺς τέσσαρας τρόπους, ἱστορικόν δηλαδή, ἀναγωγικόν, ἀλληγορικόν τε καὶ τροπολογικόν, οὗ ἡ θεία Γραφὴ ἐξηγεῖται; τουτέστι κατὰ ποῖον σημαινόμενον ἐκληπτέον τὸ ὑπ' ἐκείνων ἑρμηνευόμενον; Παραδείγματος χάριν, τὸ «ἦν δὲ ὁ Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ», ὃ ἑρμηνεύων Θεοφύλακτος ὁ Βουλγαρίας φησὶ ζώνην δερματίνην τὴν τῶν παθῶν νέκρωσιν, καὶ τὴν ξηρανθεῖσαν συκῆν, τὴν Συναγωγὴν τῶν Ἰουδαίων». Καὶ εἰ διαφέρει τρόπος τροπολογίας, ὅτι τὸν μὲν τρόπον ἐν λέξει, τὴν δὲ ἀλληγορίαν κατὰ σύνθεσιν γίγνεσθαι

μεμαθήκαμεν, ὃν τρόπον καὶ σολοικισμὸς βαρβαρισμοῦ διενήνοχεν. Ἆρ' οὖν ἀλληγορίαν τὸ «ζώνην δερματίνην» κατὰ τὴν ἑρμηνείαν ταύτην εἶναι φήσομεν; ὡς καὶ τὸ «χειμὼν ἔπεισι τῷ Σωκράτει, καὶ ἡ μὲν κεφαλὴ αὐτοῦ χιόνι πολλῇ νένιπται», ἀντὶ τοῦ ἐγήρασε, καὶ ἐλευκάνθησαν αἱ τρίχες αὐτοῦ; Τὴν δὲ συκῆν τί; καὶ εἰ ὀρθῶς παραδεδειγμάτισταί τινι εἰς τὸν ἀναγωγικὸν τρόπον, ἐκδόντι τούτων τὴν ἑρμηνείαν δι' αἰτήσεως τὸ «ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», οὐρανὸν μὲν φάσκοντι τὸν σαρκωθέντα Λόγον, γῆν δὲ Μαριὰμ τὴν μητέρα αὐτοῦ ἐννοητέον· ἔχει δ' ἀπορίαν τὸ λεγόμενον· εἰ γὰρ τὸν Λόγον ἢ λόγον ἐκλάβοιμεν, πῶς ποίημα ὁ τῷ Πατρὶ συνάναρχος καὶ ὁμοούσιος Λόγος, εἰμὴ τ' Ἀρείου φρονοῦμεν; εἰ δὲ τὴν σάρκωσιν τούτου, πῶς ἐν ἀρχῇ, ὅπου γε ἐπ' ἐσχάτων τῶν χρόνων σεσάρκωται; ἀρχὴ δὲ τῷ τέλει ἀντίκειται, ὡς τὰ κατὰ διάμετρον. Ἔτι, τὸ «πρὸ τριῶν ἰδῶν Ἰουνείων», ὡς ἡμῖν γέγραφας, οὐκ ἔγνων· καὶ διατί ε, ἀλλ' οὐχὶ εε, οἷά που παρὰ τῷ Κεδρηνῷ Γεωργίῳ κεῖται, ὃς μόνην διαίρεσιν ποιεῖται τοῦ μηνὸς εἰς τρία κατὰ Ρωμαίους, οὐ μὴν δὲ καὶ πῶς αἱ ἡμέραι τούτου καταμετροῦνται ἑρμηνεύει; Ἔτι, παρὰ τῷ Σουίδᾳ, ἐν τῷ «τίτλος» οὑτωσὶ κεῖται, καὶ ἀγνοῶ τὸ λεγόμενον: «Τίτλος (φησὶ) διαφέρει κεφαλαίου· καὶ ὁ μὲν »Ματθαῖος ἔχει τίτλους ξη', κεφάλαια τνε'· ὁ »δὲ Μάρκος τίτλους μη', κεφάλαια λς'· ὁ δὲ »Λουκᾶς τίτλους πγ', κεφάλαια τμη'· ὁ δὲ »Ἰωάννης τίτλους ιη', κεφάλαια σλβ'».— Κεφάλαια ἡμεῖς ἴσμεν Ματθαίου μὲν κη', Λουκᾶ δὲ κδ', Ἰωάννου τε κα' καὶ Μάρκου ις'. Ἔτι, ὁ κριτὴς ἐκεῖνος Ἐπιφάνειος, ὃν εἰς ἐπίλυσιν ἤγαγες τῆς ἀπορίας μάρτυρα, τίς ἐστι; καὶ διατί κριτής; καὶ κατὰ τίνας ἤκμασε χρόνους; ἔδοξε γάρ μοι τῇ σῇ λογιότητι μᾶλλον ἢ ἐκείνῳ ἀγνοουμένῳ πεισθῆναι· οὐκ οἶδα γὰρ εἰ ἐκ τοῦ καταλόγου τῶν Ἁγίων ὁ πατὴρ πιστεύεται εἶναι· καὶ διατί οὐδεὶς τῶν Ἁγίων τοῦτο, δηλαδὴ τὸ γεννητὴν εἶναι τοῦ Υἱοῦ τὴν οὐσίαν, καθὸ ταυτοῦται καὶ προσδιορίζεται τῇ ἐκείνου ὑποστάσει, ὑπηνίξατο, ὡς ὁ Ἐπιφάνειος λαμπρῶς ἐδογμάτισεν; ἀλλὰ γὰρ ὁ Θεολόγος ἐν τῷ πρὸς Εὐάγριον περὶ θεότητος λόγῳ οὑτωσί φησιν· «Εἰδέναι δὲ ἀκόλουθον ἡμᾶς τοὺς τῆς ἀληθείας »ἐπιγνώμονας, ὡς ἀδιαίρετός ἐστι καὶ μονοει»δὴς ἡ θεία τε καὶ ἀμερὴς τοῦ κρείττονος οὐ»σία, πρὸς δὲ τὸ χρήσιμον τῆς ἡμετέρας τῶν »ψυχῶν σωτηρίας καὶ μερίζεσθαι ταῖς ὀνομα»σίαις δοκεῖ». Μήποτ' ἄρ' ἀντικεῖσθαι δόξειε τὸ ῥητὸν τοῦ Ἁγίου τῇ δόξῃ τοῦ Ἐπιφανείου· τὸ γὰρ μερίζεσθαι ταῖς ὀνομασίαις τὰ θεῖα πρόσωπα καὶ διαιρεῖσθαι ἀπ' ἀλλήλων τῷ νῷ, ὡς δοκεῖ τῷ ἐκ Δαμασκοῦ λαμπρῷ φωστῆρι, τοῦ τὴν οὐσίαν γεννητὴν καὶ ἀγέννητον λέγειν καὶ πράγματι ἀπ' ἀλλήλων διακρίνεσθαι τὰ πρόσωπα, ὡς Κούρσουλας καὶ ἄλλοι, δοκεῖ πάντῃ διάφορον.

Γίνωσκε δέ, πάτερ σεβάσμιε, ὡς οὐδενὶ τὰς ἀπορίας ταύτας ἐκοίνωσα, μάρτυς ὁ ἐν οὐρανῷ πιστός, ἀλλὰ μόνος κατὰ νοῦν ἀναπολήσας ἠπόρησα. Τίνος δὲ χάριν τοῦτο λέγω; ὅτι πάντες τὴν λύσιν τῆς ἀπορίας θαυμάσαντες, καὶ ἀποδεχθέντες τοὺς λόγους παραυτίκα ἠρέμησαν, μηκέτι πορρωτέρῳ προβάντες εἰς ἀναζήτησιν ἐνστάσεως. Ἔτι, ὁ ἐμὸς καθηγητὴς Ἀλέξανδρος[1] ὑπισχνεῖτο τοῖς μαθηταῖς ὁσημέραι παραδοῦναι αὐτοῖς τὸν τοῦ κήρυκος λόγον, ὃν οὔτε εἴδομεν, οὔτ' ἀκηκόαμεν· οὕτω γὰρ ὠλιγώθησαν αἱ ἀλήθειαι, ἵν' οὕτως εἴπω κἀγώ, ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων· ὅθεν καὶ περὶ αὐτοῦ τούτου τοῦ λόγου, εἰ βούλει, διαληπτέον ὁποῖός τίς ἐστι.

Θαυμάζω τοῦ παπᾶ Παναγιώτου, οὐχ ὅτι μου ἐπελάθετο καὶ οὐδ' ὁπωσοῦν ἀπεκρίνατο εἰς ἅπερ αὐτῷ ἐγεγράφειν, πρὸς δὲ καὶ τοὐμὸν βιβλίον *τῆς ὀρθοδόξου πίστεως τὴν ὁμολογίαν* κατακεκράτηκεν (οὗ νῦν οὔμενουν χρῄζω, ἐπεὶ ἀνθ' ἑνὸς ἐκτησάμην δύο), ἀλλ' ὅτι οὐχ ὑπεστάλη τοῦ μὴ ψευσθῆναι πρὸς τοιοῦτον καὶ τηλικοῦτον ἄνδρα, ᾧ ἀτενίσαι αἰδὼς κατέχει μου τὴν προθυμίαν.

Ἔτι, εἰ ἀληθὴς καὶ ἀνόθευτος ἡ ἐν τῇ ἁγίᾳ Σοφίᾳ μετὰ τὴν ἀπὸ Ρώμης ἐπάνοδον συγκροτηθεῖσα σύνοδος (παρόντος καὶ τοῦ ἁγιωτάτου Μάρκου τοῦ Ἐφεσίων φωστῆρος), ἧς ἐπιτυχὼν καὶ ἀναγνοὺς ἀντέγραψα (οὐ γὰρ τετύπωται), ἣ πρὸς τοῖς ἄλλοις φησὶ καὶ τοῦτο, οἱ Λατῖνοι ἐνόθευσαν τοὺς Πατέρας, Ἀθανάσιον, Βασίλειον, Γρηγόριον Νύσσης καὶ ἄλλους πλείστους· μῶν καὶ τὰ ἅπερ κεκτήμεθα νῦν τετυπωμένα καὶ σωζόμενα τούτων βιβλία νενοθευμένα εἰσὶ καὶ ἀδιόρθωτα;

Τί δοκεῖ δέ σοι καὶ περὶ τῶν *Διαταγῶν τῶν ἁγίων Ἀποστόλων*, ἃς περ αἱ σύνοδοι ἀπηγόρευσαν ἀναγινώσκεσθαι τοῖς ὀρθοδόξοις, διὰ τὸ νενοθεῦσθαι; καὶ εἰ ἀπηγορευμέναι εἰσί, διατί ταύτας τῷ τοῦ Ζωναρᾶ Νομίμῳ συνέ-

1) Ἐννοεῖ Ἀλέξανδρον Μαυροκορδάτον τὸν ἐξ Ἀπορρήτων.

ταξαν; εἶτα οὐκ ἐξόν μοι ταύτας ἀναγνῶναι φειδοῖ τοὐπιτάγματος τῶν ἁγίων Πατέρων;

Εὐμοίρησα καὶ βιβλίων εἰς τὰ πρότερα καὶ ὕστερα τῶν ἀναλυτικῶν τῶν τοῦ Φιλοπόνου, καὶ Εὐστρατίου τοῦ πάνυ Προέδρου Νικαίας εἰς τὸ β^ον^ τῶν ὑστέρων, ἃ καὶ μετῆλθον μετὰ σκέψεως οὐ τῆς τυχούσης καὶ τεθαύμακα τὸν φιλόσοφον τῆς τε δεινότητος καὶ βραχυλογίας καὶ τοῦ βάθους τῶν νοημάτων. Τῶν τοπικῶν μέν τοι ἀμοιρῶ, λογιώτατε, ἅπερ ἐξηγεῖται Ἀλέξανδρος ὁ Ἀφροδισιεύς, οὗ τὸ βιβλίον ἐν τῇ Κωνσταντίνου προκατεῖδον· χρήσιμα δὲ κἀκεῖνα μοι δοκεῖ ἄκροις χείλεσιν ἁψαμένῳ κἀκείνων συνεπτυγμένως, παρὰ Γεωργίῳ τῷ Παχυμέρει συνοπτικῶς περὶ τούτων διαλαβόντι· γένοιτο δέ μοι τὸ τοῦ Ἀλεξάνδρου παρά τινος τῶν φίλων εὑρεθῆναι καὶ μετὰ τὴν ἀνάγνωσιν ἀποδοθῆναι.

Ἔτι δὲ καὶ διατί ἡ σελήνη, ἀνίσχουσα μὲν τοῦ ὁρίζοντος μείζων, ἐν δὲ τῷ μεσουρανήματι, εἶτουν τῷ καθ' ἡμᾶς μεσημβρινῷ γενομένη, ἐλάττων φαίνεται; καὶ ποίας ἂν εἴη ἐπιστήμης τοῦτ' εἶδος καὶ ἀποδοῦναι τὸ αἴτιον; οὐ γὰρ ὀπτικῆς, ὥς γε μοι δοκεῖ· ὁ γὰρ ὀπτικὸς ἐρωτηθεὶς διατί τὰ μὲν πόρρωθεν ὁρώμενα ἐλάττονα φαίνεται, τὰ δὲ ἐγγύθεν μείζω, ἀποδίδωσι τὴν αἰτίαν λέγων, διὰ τὰς ἐμπιπτούσας τῇ ὄψει γωνίας, ὅτι τὰ ὑπὸ μείζονος γωνίας ὁρώμενα μείζονα φαίνεται, τὰ δὲ ἐγγυτέρω ὁρώμενα τὰ αὐτὰ ὄντα ὑπὸ μείζονος γωνίας ὁρᾶται ἢ ὅτε πόρρωθεν ἦν. Ὥστε, εἰ ἡ σελήνη ἐπὶ μὲν τοῦ ὁρίζοντος ἐγγύτερον ἦν, ἐπὶ δὲ τοῦ μεσημβρινοῦ κύκλου πορρώτερον, εἶχεν ἂν ὁ ὀπτικὸς ἀποδοῦναι λόγον· νῦν δὲ τοὐναντίον συμβέβηκε γίγνεσθαι ἐπὶ τῆς σελήνης, πόρρω μὲν οὖσα μείζων, ἐγγὺς δὲ ἐλάττων· ἡ γὰρ σφαῖρα, ἐν ᾗ κατεστήρικτο ἡ σελήνη, οὐκ ἄλογος ἀλλὰ μᾶλλον ἀνάλογός ἐστι τῇ γῇ, ἣν ἔχουν λόγον ἔσχηκε πρὸς ταύτην, ὥσπερ καὶ ἡ γῆ πρὸς ἐκείνην ὑπόλογον· οὐ γὰρ καὶ πρὸς ταύτην ἡ γῆ, ὥσπερ καὶ πρὸς τὴν πολύαστρον σημείου λόγον ἐπέχει, καθάπερ οἱ περὶ ταῦτα δεινοὶ ἀποφαίνονται καὶ Πρόκλος ὁ Διάδοχος ἐν τῇ τῶν ἀστρονομικῶν ὑποθέσεων ὑποτυπώσει, ὅπου γραμματικαῖς ἀποδείξεσι ταυτηνὶ τὴν δόξαν διϊσχυριζόμενος ἀποδείκνυσιν, ὅτι δηλαδὴ ἐν μὲν τῇ ἀνατολῇ πορρώτερον εἶναι ἀφ' ἡμῶν τὴν σελήνην, ἐν δὲ τῷ κατὰ κορυφὴν ἡμῶν μεσημβρινῷ ἐγγύτερον. Ἀλλὰ τί λέγω περὶ τῆς σελήνης ὅπου καὶ αὐτὴν τὴν μεγάλην ἄρκτον (καὶ τ' ἄλλα τὰ ζώδια σχεδὸν πάντα) παρατηρήσας, περίγειον μὲν γινομένην καὶ γειτνιάζουσαν τῷ ὁρίζοντι μεγάλην φαίνεσθαι συμβέβηκεν, οἵ τ' ἐν αὐτῇ ἀστέρες ἅμα τῇ πηλικότητι καὶ ἐκτάσει τῆς ἄρκτου πλεῖστον ἀπ' ἀλλήλων διίστανται, ἐν δὲ τῷ μεσημβρινῷ ἅπαν τοὐναντίον πέφυκε γίγνεσθαι; Ἀμέλει τοι, εἰ ὀπτικῆς ταυτὶ τὰ ἄπορα οὐκ ἔστι δεῖξαι, ἄλλης ἂν εἴη ἐπιστήμης· εἰ δέ τινος φυσικοῦ ἔχεται λόγου, ῥητέον, οὐ μὴν ἀλλὰ καὶ ἔνθα ὁ φιλόσοφος τουτὶ ἀποδείκνυσι. Καὶ ταῦτα μὲν δὴ ταῦτα, ἐρρωμένως δέ μοι διαβιώης, φίλων ἄριστε.

ᾱχοε', Ἐλαφηβολιῶνος ὀγδόῃ ἱσταμένου.

Τῆς σῆς ἐλλογιμότητος εὐπειθὲς τέκνον,
Βησσαρίων ἱερομόναχος.

ΣΩΦΡΟΝΙΟΥ ΔΑΡΑΚΙΟΥ
59.

Τῷ λογιωτάτῳ καὶ σοφωτάτῳ πατρὶ καὶ διδασκάλῳ κυρίῳ κυρίῳ Βησσαρίωνι τῷ Μακρῇ, Σωφρόνιος ὁ Δαράκιος τὸ μετὰ φιλικοῦ ἀσπασμοῦ *Χριστὸς ἀνέστη.*

Δίκαιός εἰμι συγγνώμης ἀξιοῦσθαι παρά σοι, σεβάσμιε πάτερ, εἴπερ πρὸ πολλοῦ δεξάμενός σου τὴν ἐπιστολὴν ἐσμὸν ἀπορημάτων ἐπάγουσαν, ἔστιν ὧν βάθους ἐχόντων ἀξιολόγου, ἔστι δ' ὧν καὶ μὴ τοιούτων ὄντων, οὐ τότ' αὐτίκα τὰς αἰτηθείσας λύσεις ἀντεπιστέλλων δέδωκα· θαῦμα γάρ, καχέκτης ὤν, ὅτι μέχρι καὶ νῦν ἐν τοῖς ζῶσι συγκαταλέγομαι. Ἀλλὰ περὶ μὲν τούτου καὶ πρότερον τέθυκα, καὶ νῦν οὐχ ἥκιστα θύω τῷ Θεῷ τὰς εὐχαριστηρίους εὐχάς· οἶδα γὰρ οἰκονομικῶς ἐμαυτοῦ στρεβλούμενος, ἵνα μου τὸν βίον ἐπιγνοὺς τὸν πλημμελῆ, καὶ ὡς εἰκὸς μετανοήσας, τἀναπόδραστον τῆς κολάσεως διαδράναι μοι γένηται. Περὶ δ' ὧν ἀπορεῖς πειράσομαί σοι (τὸ κατ' ἐμὲ) τὰς λύσεις ἀποδοῦναι ὡς οἷόν τε συντομώτατα. Περὶ μὲν οὖν τοῦ πρώτου εἰδέναι δεῖ, ὡς ὁ κριτὴς ἐκεῖνος, ᾧ περ ἐγνωμάτευται μὴ εἶναι τὸν ἱερὸν Ἐπιφάνειον ἕνα τοῦ χοροῦ τῶν Ἁγίων, ἀκριτομυθέστερος τοῦ Θερσίτου τοῖς εὐσεβεῖν προαιρουμένοις νομίζεται· ἡ γὰρ ἀναντίρρητος τῆς Ἐκκλησίας ἐξουσία πείθει τούτους τοῖς ἀπὸ κοιλίας ληροῦσι μὴ προσέχειν τὸ σύνολον· οἵδε γὰρ αὕτη τοῦτον οὐχ ὅτι ἅγιον, ἀλλὰ καὶ ἁγίων τὸν μέγιστον, ῥιζοτόμον τῶν αἱρέσεων ἀνυμνοῦσα καὶ στῦλον τῆς πίστεως ἀναγορεύουσα. Εἰ δὲ καὶ γεννητὴν εἴρηκε τὴν οὐσίαν τοῦ Υἱοῦ, κίνδυνος οὐδεὶς μὴ καὶ δόξῃ ἄτοπον εἰπών, διὰ τὸ τὸν Θεολόγον εἰρηκέναι τὴν θείαν οὐσίαν μονοειδῆ καὶ ἀδιαίρετον, κἂν ταῖς ὀνομασίαις δοκῇ μερίζεσθαι· ὁ μὲν γὰρ κατ' ἐσχάτην ἀφαίρεσιν (ὡς οἱ σχολαστικοί φασι) τὴν οὐσίαν ἐνόησεν, ὁ δ' Ἐπιφάνειος οὐχ οὕτως, ἀλλὰ καθὸ κατηγορεῖται κατὰ τῶν ὑποστάσεων, καὶ ταύταις μιᾷ τῇ τοῦ Υἱοῦ προσδιορίζεται, γεννητὴν αὐτὴν προσηγόρευσε· καθ' οὕτως τὰ ῥητὰ τῶν Πατέρων τούτων οὐ μόνον ἑαυτοῖς οὐκ ἀντίφθογγα, ἀλλὰ καὶ κατὰ τῆς ἀσεβείας στρατεύεται, τὸ μὲν Ἐπιφανείου κατὰ τῆς Σαβελλίου τοῦ τὰ θεῖα πρόσωπα συναιροῦντος καὶ τὴν τριάδα συγχέοντος νῦν ἔχει τῷ τὴν οὐσίαν γεννητὴν δογματίζειν τοῦ Υἱοῦ, τοῦτον παρυποστῆσαι πραγματικῶς καὶ διακρῖναι τοῦ Πατρὸς ἀγεννήτου ὄντος, οὐδ' ἑτέρῳ τε τούτων εἶναί τινα ψιλὴν ὀνόματος πρὸς ἀνυπαρξίαν χωροῦσαν ἔμφασιν, ἀλλ' ὡς ἀληθῶς ἰδιοσύστατόν τε καὶ διακεκριμένην ὑπόστασιν. Τὸ δὲ τοῦ Θεολόγου εὐλαβούμενον τὸ τῶν αἱρετιζόντων κακόηθες, τοῖς εὐσεβέσι ῥᾳδίως ἔγκλημα τριθεΐας προσαπτόντων (ὡς αὐτὸς ἐν τῷ πρὸς Ἥρωνα μαρτυρεῖ τὸν φιλόσοφον), μονοειδῆ καὶ ἀδιαίρετον τὴν θείαν οὐσίαν ἐκάλεσεν· εἰ δὲ καὶ προστίθησι, κἂν ταῖς ὀνομασίαις μερίζεσθαι δοκῇ, οὐ πάντως ἐκ τούτου συνάγεται καὶ τὰ θεῖα πρόσωπα ψιλῇ τῇ ἐπινοίᾳ τὴν ἀπ' ἀλλήλων ἔχειν διάκρισιν· παρὰ γὰρ κἂν τῷ Θεολόγῳ τούτῳ κριτῇ ταῦθ' ὡς ἀληθῶς οὐσίωται πραγματικῶς ὑφιστάμενα· φησὶ γὰρ ἐν τῇ εἰς τὸν ρ' ἐπισκόπων παρουσίᾳ· «Πιστεύομεν εἰς Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον, ὁμοούσιά τε καὶ ὁμόδοξα, ἐν οἷς καὶ τὸ βάπτισμα τὴν τελείωσιν ἔχει ἔν τε ὀνόμασι καὶ πράγμασι»· καὶ κατωτέρω· «Τὸ μὲν ἓν τῇ οὐσίᾳ γινώσκοντες, τὰ δὲ τρία ταῖς ὑποστάσεσιν, εἶτ' οὖν προσώποις, ὅ,τι σοι φίλον, μηδὲ οἱ περὶ ταῦτα ζυγομαχοῦντες ἀσχημονείτωσαν, ὡς ἂν ὀνόμασι κειμένοις ἡμῖν τῆς εὐσεβείας, ἀλλ' οὐκ ἐν πράγμασι»· καὶ ἐν τῷ πρὸς Ἀρειανούς, «μίαν φύσιν (φάσκει) ἐν τρισὶν ἰδιότησι νοεραῖς, τελείαις καθ' ἑαυτὰς ὑφεστώσαις, ἀριθμῷ διαιρεταῖς, ἀλλ' οὐ θεότητι». Ἀλλὰ καὶ ὁ θεῖος Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα ἐπιστολῇ περὶ αὐτοῦ τούτου λέγει· «Τριὰς δέ ἐστιν οὐχ ἕως ὀνόματος μόνον καὶ φαντασίας λέξεως, ἀλλὰ καὶ ἀληθείᾳ καὶ ὑπάρξει τριάς»· ἀδελφὰ δὲ τούτοις καὶ ὁ θεῖος Κύριλλος ἐν τῷ περὶ Τριάδος τεθεολόγηκεν. Εἰ οὖν αἱ ὑποστάσεις καὶ πραγματικῶς ἐν τοῖς θείοις ὑφεστήκασι, τοῦ τε Πατρὸς ὀνόματος καὶ τοῦ Υἱοῦ καὶ Πνεύματος δηλοῦντος φύσιν ὡς ἀληθῶς οὖσαν ἰδιοσύστατον, δῆλον ἄρ' ὅτι κἂν τε τῆς ἐπινοίας τοῦτο νοούσης, κἂν τε καὶ μὴ τὴν ἀπ' ἀλλήλων διάκρισιν· οὐδὲ γὰρ ἔχομεν τὸν πατέρα λέγειν μὴ εἶναι υἱόν, καὶ τ' ἀνάπαλιν, οὔτε τὸν πατέρα τούτων οὐδέτερον, διὰ τὸ τὴν ἐπίνοιαν οὕτω φαντάζεσθαι, ἀλλὰ διὰ τὸ τοιούτους ἔχειν τὰ θεῖα πρόσωπα. Ἀλλὰ καὶ τὸ τοῦ Δαμασκηνοῦ ῥητὸν ἐν τῷ περὶ Τριάδος, τῷ τοῦ Θεολόγου νοῦν ἔχει τὸν αὐτόν· καὶ γὰρ ὑφορώμενος καὐτὸς οὗτος ὁ θεῖος πατὴρ τοὺς αἱρετικοὺς ἑτοίμως ἔχοντας τοὺς πιστοὺς ἀσεβείας γράφεσθαι, τοῦτ' εἴρηκε περὶ τῆς τῶν ὑποστάσεων διακρίσεως· δῆλος γὰρ παρακατιὼν οὐκ ἀπολύτως ἀλλὰ κατὰ παράθεσιν τῶν καθ' ἡμᾶς πραγματικῶς διαφερόντων, οὐκ ἐν τῷ υἱῷ ἀλλ' ἐν τῷ τῆς ὑπάρξεως τρόπῳ τὴν διαφορὰν τῶν ὑποστάσεων τιθέμενος· φησὶ γάρ· «Κατὰ τὸ αἴτιον καὶ τὸ αἰτιατόν, καὶ τὸ τέλειον τῆς ὑποστάσεως, ἤτοι τὸν τῆς ὑπάρξεως τρόπον, τὴν διαφορὰν ἐννοοῦμεν· οὔτε γὰρ τοπικὴν διάστασιν, ὡς ἐφ' ἡμῶν δυνάμεθα ἐπὶ τῆς ἀπεριγράπτου λέγειν θεότητος, οὔτε θελήματος διαφορὰν ἢ γνώμης ἢ ἐνεργείας ἢ δυνάμεως ἤ τινος ἑτέρου, ἅτινα τὴν πραγματικὴν καὶ διόλου ἐν ἡμῖν γεννῶσι διαίρεσιν· διὸ οὐδὲ τρεῖς θεοὺς λέγομεν τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, ἕνα δὲ μᾶλλον Θεὸν τὴν ἁγίαν Τριάδα», καὶ τὰ ἑξῆς· ἐξ ὧν ἀριδήλως συνάγεται, ὡς οἱ ῥηθέντες Πατέρες οὕτω τὰ τοιαῦτα θεολογῆσαι προήχθησαν, ἵνα μὴ λαβὴν τῆς αἱρετικῆς κακεντρεχείας δώσωσιν, ἀλλ' οὐχ ἵνα καὶ τὴν διαφορὰν τῶν ὑποστάσεων ψιλῆς ἐπινοίας ἀνάπλασμα δογματίσωσι.

Περὶ δὲ τῆς τετρακτύος τῶν τρόπων, καθ' οὓς ἐξηγεῖται τοῖς Πατράσιν ἡ θεία Γραφή, δεῖ με νομίζω σαφὲς εἰπεῖν τι, προαιρούμενον τὸν ὁρισμὸν ἑκάστου προκομίσασθαι. Λαβὼν οὖν τὰς ἀφορμὰς παρὰ τοῦ τῷ Γρηγορίῳ τῷ Θεολόγῳ φοιτήσαντος Ἱερωνύμου, παρ' Εὐχερίου τε καὶ Αὐγουστίνου, ὧδέ πως ἄρχομαι.

Τρόπος ἱστορικός, ἤτοι καθ' ἱστορίαν ἐξήγησίς ἐστιν ἡ τὴν τῶν πραγμάτων ἀλήθειαν ἡμῖν παριστάνουσα, ὡς τὸ ὕδωρ τὸ ἐν τῷ μυστηρίῳ τοῦ Βαπτίσματος ἱστορικῶς λαμβανόμενον τὸ στοιχειῶδες ὕδωρ σημαίνει.

Ἐξήγησις τροπολογική, ἥτις καὶ ἠθικὴ λέγεται, ἐστὶν ἡ πρὸς τὴν τοῦ βίου ἐπανόρθωσιν τὸ μυστικὸν νόημα παρεισάγουσα, ὡς τὸ ὕδωρ τροπολογικῶς νοούμενον σημαίνει τοὺς πειρασμούς.

Ἀλληγορικὴ ἐξήγησίς ἐστιν ἡ τῶν μελλόντων ἔργων τῶν ἐπαινετῶν σκιὰν ἡμῖν διηγήσεως προτείνουσα, ὡς τὸ ὕδωρ ἀλληγορικῶς λαμβανόμενον δηλοῖ τὸ βάπτισμα.

Ἀναγωγή ἐστιν, ἥτις πρὸς τὰ θειότερα μυ-

στήρια τῶν οὐρανίων τύπων ἡμᾶς ἀνάγουσα, ὡς τὸ ὕδωρ ἀναγωγικῶς ἐξηγούμενον σημαίνει τὴν θείαν μακαριότητα. Καὶ ἄλλως τὸ γραφικὸν ρητόν, «καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτός, καὶ ἀνὰ μέσον τοῦ σκότους», ἱστορικῶς νοούμενον δηλοῖ αὐτὸ τὸ φῶς, καὶ τὴν ἀπουσίαν αὐτοῦ· τροπολογικῶς τὴν δικαίωσιν καὶ τὴν θανάσιμον ἁμαρτίαν· ἀλληγορικῶς τὴν παλαιὰν καὶ νέαν Γραφήν· ἀναγωγικῶς τοὺς προωρισμένους καὶ ἀποδεδοκιμασμένους· ἐξ ὧν δῆλον, ὡς ἡ ξηρανθεῖσα συκῆ τροπολογικῶς τὴν συναγωγὴν τῶν Ἰουδαίων δηλοῖ, καθά που καὶ ἡ δερματίνη ζώνη τοῦ Ἰωάννου παρὰ Θεοφυλάκτου εἴληπται. Χρὴ δὲ γινώσκειν, ὅτι τρόπος διαφέρει τροπολογίας, ὡς ἦθος ἠθοποιΐας· τὸ μὲν γὰρ σχῆμα, τὸ δὲ λόγος ἐσχηματισμένος. Ἀλλὰ καὶ τὸ «ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν» ληφθὲν κατ' ἀναγωγὴν ὀρθῶς ἔχει, νοουμένου Χριστοῦ τοῦ σαρκωθέντος οὐρανοῦ, καὶ γῆς ἐξ ἧς ἐβλάστησε, τῆς μητρὸς αὐτοῦ· οὕτω γὰρ καὶ ὁ θεῖος Ἀναστάσιος ὁ Σιναΐτης ἐξεδέξατο τὸ ῥητὸν ἐν τῷ εἰς τὴν *Ἑξαήμερον* βιβλίῳ α', καὶ ἡ μυστικὴ μεγάλη μετάφρασις ὑπτίαις χερσὶ τὴν οὕτως ἔχουσαν ἀναγωγὴν ἀσπάζεται.

Περὶ δὲ τῶν *Διαταγῶν τῶν Ἀποστόλων* δοκεῖ μοι δεῖν τοῖς Πατράσιν ἀπολυπραγμόνως πείθεσθαι, ταύτας εὐλόγως ἀπαγορεύσασι διὰ τὴν τῶν Τεσσαρεσκαιδεκατιτῶν κίβδηλον πρόσθεσιν· οὔτε παρὰ τὸ συντετάχθαι τῷ τοῦ Ζωναρᾶ Νομίμῳ, ἄλλως πως ποιητέον· ἐξήγησε γὰρ τούτους οὗτος ὁ συγγραφεὺς οὐχ ἵνα τούτοις ὡς οὐκ ἀπηγορευμένοις (ὥς περ δοκεῖ Πέτρῳ τῷ Κομέστωρι) χρησώμεθα, ἀλλ' ἵνα τὸν συγγραφέα θαυμάζειν ἔχωμεν· ἀλλὰ γὰρ ἐγὼ τούτου δοθέντος, ἥκιστ' ἄγαμαι τὸν ἄνδρα τοῦ φρονήματος.

Περὶ δὲ τῶν παρὰ Ρωμαίοις Καλανδῶν ἰστέον, ὡς οὗτοι τὰς ἡμέρας τοῦ μηνὸς εἰς τρία διῄρουν, εἰς καλάνδας, νόνας καὶ ἰδούς· καλάνδαι παρ' αὐτοῖς, ὅπερ νουμηνίαι παρ' Ἕλλησι. Τῶν οὖν μηνῶν ὄντων δυοκαίδεκα, τέσσαρσι τούτων, Μαρτίῳ δηλαδή, Μαΐῳ, Ἰουλίῳ τε καὶ Ὀκτωβρίῳ, νόνας μὲν ἑπτά, ἰδοὺς δέ γε ιε' παρεῖχον, οὑτωσί πως ἀριθμοῦντες τὰς νεμηθείσας ἡμέρας. Τὴν πρώτην ἑνὸς ἑκάστου τῶν ῥηθέντων τεσσάρων μηνῶν (καθὰ δή πουθεν καὶ τῶν λοιπῶν ὀκτὼ) κατ' αὐτὰς ἔλεγον τὰς καλάνδας, τὴν δευτέραν πρὸ ἕξ (φέρ' εἰπεῖν) νονῶν Ἰουλείων, τὴν τρίτην πρὸ πέντε, τὴν τετάρτην πρὸ τεττάρων, τὴν πέμπτην πρὸ τριῶν Ἰουλείων, τὴν ἕκτην τῇ πρὸ τῶν νονῶν, τὴν ἑβδόμην κατ' αὐτὰς τὰς νόνας τοῦ Ἰουλίου καὶ τοῖς λοιποῖς ὁμοίως. Πληρωθέντων δὲ τῶν νονῶν, ἤτοι τῶν ἑπτὰ τοῦ μηνός, τὴν μὲν ὀγδόην πρὸ ὀκτὼ ἰδῶν Ἰουλείων ἔλεγον, τὴν δὲ ἐννάτην πρὸ ἑπτά, τὴν δεκάτην πρὸ ἕξ, τὴν ἑνδεκάτην πρὸ πέντε, τὴν δωδεκάτην πρὸ τεττάρων, τὴν δεκάτην τρίτην πρὸ τριῶν, τὴν δεκάτην τετάρτην πρὸ τῶν ἰδῶν, τὴν δεκάτην πέμπτην κατ' αὐτὴν τὴν τῶν ἰδῶν Ἰουλείων. Ἡνίκα δ' αἰνίττεσθαι τὴν δεκάτην ἕκτην τοῦ μηνὸς ἦν αὐτοῖς σκοπός, οὕτως ἔλεγον· δεκάτῃ ἐπὶ ἑβδόμῃ πρὸ καλανδῶν αὐγουστείων (μετὰ γὰρ τοὺς ἰδούς, ἤτοι τὴν ιε' τοῦ μηνός, τὰς καλάνδας, καὶ τὸν προσεχῆ μετὰ τὸν ἐνεστῶτα μῆνα ὠνόμαζον), τὴν δεκάτην ἑβδόμην δεκάτῃ ἐπὶ ἕκτῃ, τὴν δεκάτην ὀγδόην δεκάτῃ ἐπὶ πέμπτῃ, τὴν δεκάτην ἐννάτην δεκάτῃ ἐπὶ τετάρτῃ, τὴν εἰκοστὴν τρίτῃ ἐπὶ δεκάτῃ, τὴν εἰκοστὴν πρώτην δωδεκάτῃ πρὸ καλανδῶν, τὴν εἰκοστὴν δευτέραν ἑνδεκάτῃ πρὸ καλανδῶν, τὴν εἰκοστὴν πέμπτην ὀγδόῃ, τὴν εἰκοστὴν ἕκτην ἑβδόμῃ, τὴν εἰκοστὴν ἑβδόμην ἕκτῃ, τὴν εἰκοστὴν ὀγδόην πέμπτῃ, τὴν εἰκοστὴν ἐννάτην τετάρτῃ, τὴν τριακοστὴν τρίτῃ πρὸ καλανδῶν, τὴν τριακοστὴν πρώτην τῇ πρὸ τῶν καλανδῶν αὐγουστείων. Ἐπὶ δὲ τοῖς λοιποῖς ὀκτὼ μησί, νόνας μὲν πέντε, ἰδοὺς δὲ τρεῖς καὶ δέκα παρεῖχον. Τὴν μὲν οὖν μετὰ τὴν πρώτην τοῦ μηνὸς πρὸ τεττάρων νονῶν (φέρ' εἰπεῖν) ἰουνείων ἔλεγον, τὴν δὲ μετ' αὐτὴν πρὸ τριῶν, τὴν τετάρτην τῇ πρὸ τῶν νονῶν, τὴν πέμπτην κατ' αὐτὰς τὰς νόνας τοῦ Ἰουνίου. Μετὰ δὲ τὰς νόνας, ἤτοι μετὰ τὴν πεμπτην τοῦ μηνός, βουλόμενοι προφέρειν τὴν ἕκτην, ὀγδόη πρὸ τῶν ἰδῶν ἔλεγον, τὴν δὲ μετ' αὐτὴν ἑβδόμη πρὸ τῶν ἰδῶν, τὴν δὲ μετ' αὐτὴν ἕκτη πρὸ τῶν ἰδῶν, τὴν ἐννάτην πρὸ τῶν ἰδῶν ἰουνείων, τὴν δεκάτην τρίτην κατ' αὐτὴν τὴν τῶν ἰδῶν ἰουνείων ἔλεγον· μετὰ δὲ τοὺς ἰδούς, ἤτοι τὴν ιε' τοῦ μηνός, τὴν μετ' αὐτήν, δεκάτῃ ἐπὶ ὀγδόῃ πρὸ καλανδῶν· τὴν δεκάτην ἕκτην, δεκάτῃ ἐπὶ ἕκτῃ· τὴν δεκάτην ἑβδόμην, δεκάτῃ ἐπὶ πέμπτῃ· τὴν δεκάτην ὀγδόην, δεκάτῃ ἐπὶ τετάρτῃ· τὴν δεκάτην ἐννάτην, δεκάτῃ ἐπὶ τρίτῃ· τὴν εἰκοστήν, δύο πρὸς τοῖς δέκα πρὸ καλανδῶν· τὴν εἰκοστὴν πρώτην, ἑνδεκάτῃ πρὸ καλανδῶν, καὶ καθεξῆς μέχρι τῆς τριακοστῆς, ἥτις πρὸ καλανδῶν ἰουλείων λέγεται. Προστίθημι καὶ τοῦτο (εἴ γε δοκεῖ καὶ τὸν κώνωπα διϋλίζειν) ὡς νοὸς μὲν οὔ, καλάμου δὲ μᾶλλον τ' ἁμάρτημα, τὸ μὴ διὰ τῆς ει δι-

φθόγγου ἰδῶν ἰουνείων τῷ τῆς ἐπιστολῆς ὑπογράψαι τέρατι.

Περὶ δὲ τῆς ἐν τῇ Ἁγίᾳ Σοφίᾳ συνόδου οὔμοι δοκεῖ ἀπίθανον μετὰ τὴν τῶν ἡμετέρων ἐξ Ἰταλίας ἐπάνοδον συνελθεῖν καὶ συνδιασκέψασθαι περὶ ὧν ἐπ' οὐδενὶ δέοντι κατὰ τῶν ὀρθῶν δογμάτων ἐν Φλωρεντίᾳ κεκαινοτόμηται· τοῖς πλείοσι γὰρ τούτων μετέμελε τῆς ἀπάτης ἣν ἠπατήθησαν, καὶ ταῦτα ὄντος παρ' αὐτοῖς τοῦ δυσχεραίνοντος, λέγω δὴ Μάρκου τοῦ τῆς εὐσεβείας προμάχου καὶ τοὺς ἐξαπατηθέντας παροτρύνοντος πρὸς τὴν τῶν ἐπιψόγως δεδογμένων ἐπαινετὴν ἀποκύρωσιν.

Περὶ δὲ τῶν βίβλων τῶν θείων Πατέρων, ἅς περ ἡ σύνοδος ἐκείνη τοὺς Λατίνους ἔφη κιβδηλεῦσαι, περὶ μὲν πασῶν τῶν ἀπηριθμημένων καταφάσκειν οὐκ ἔχω, περὶ δὲ μιᾶς τῆς τοῦ Ἀθανασίου καὶ μάλα εἰκότως· ἀναγνοὺς γὰρ ἐν αὐτῇ τὸ παρ' αὐτοῦ συντεθὲν Σύμβολον, τὴν προσθήκην εὗρον τὴν *καὶ ἐκ τοῦ Υἱοῦ*. Τί οὖν κἀκ τούτου χρὴ τεκμαίρεσθαι καὶ περὶ τῶν λοιπῶν; πολλοῦ γε δέω καὶ λέγειν.

